ΕΟΡΤΟΛΟΓΙΟΝ

ΠΕΡΙΕΧΟΝ

ΤΑ ΔΟΞΑΣΤΙΚΑ ΑΠΟΛΥΤΙΚΙΑ ΚΑΙ ΚΟΝΤΑΚΙΑ

ΤΩΝ ΕΟΡΤΑΖΟΜΕΝΩΝ ΑΓΙΩΝ, ΚΑΙ ΤΩΝ ΕΟΡΤΩΝ
ΤΟΥ ΤΡΙΩΔΙΟΥ ΚΑΙ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ

Τὰ δοξαστικὰ καὶ ἀπολυτίκια

ΤΗΣ ΟΚΤΩΗΧΟΥ

ΤΑ ΕΩΘΙΝΑ ΚΑΙ ΕΥΛΟΓΗΤΑΡΙΑ

ΤΟΝ ΠΡΩΤΟΝ ΠΑΡΑΚΛΗΤΙΚΟΝ ΚΑΝΟΝΑ

ΤΗΣ ΘΕΟΤΟΚΟΥ

ΤΩΝ ΕΠΙ ΕΞΟΜΟΛΟΓΗΣΕΙ ΑΜΑΡΤΩΛΟΥ

ΚΑΙ ΤΟΝ ΜΙΚΡΟΝ ΑΓΙΑΣΜΟΝ

Μεθ' ὅσης πλείστης ἐπιμελείας ἀναθεωρηθέν.
Καὶ ἐπιδιορθωθέν.

ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ.



ΒΕΝΕΤΙΑ
ΕΚ ΤΟΥ ΕΛΛΗΝ. ΤΥΠΟΓΡΑΦ. Ο ΦΟΙΝΙΞ
1884




ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΔΟΞΑΣΤΙΚΑ

ΑΠΟΛΥΤΙΚΙΑ ΚΑΙ ΚΟΝΤΑΚΙΑ

ΠΑΝΤΩΝ ΤΩΝ ΕΟΡΤΑΖΟΜΕΝΩΝ ΑΓΙΩΝ

ΚΑΤΑ ΤΗΝ ΤΑΞΙΝ ΤΩΝ ΜΗΝΩΝ.

ΣΕΠΤΕΜΒΡΙΟΣ.



ΕΙΣ ΤΗΝ Α'. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Ἀρχὴ τῆς Ἰνδίκτου. Τῆς Θεοτόκου, Συμεὼν τȣ̃ Στυλίτȣ, Ἰησοῦ τοῦ Ναυῆ, καὶ τῶν Μαρτύρων.


ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Γερμανοῦ.

Θεία χάρις ἀπῃώρητο ἐπὶ τῇ θήκῃ τῶν λειψάνων σου, ἡγιασμένε Συμεών· διὸ καὶ εἰς ὀσμὴν μύρου τῶν θαυμάτων σου δραμούμεθα, τῶν νοσημάτων τὴν ἴασιν ἀρυόμενοι· ἀλλὰ Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Βυζαντίου.

Ὁ Πνεύματι ἁγίῳ συνημμένος, ἄναρχε Λόγε καὶ Υἱὲ ὁ πάντων ὁρατῶν καὶ ἀοράτων, συμπαντουργὸς καὶ συνδημιουργός· τὸν Στέφανον τοῦ ἐνιαυτοῦ εὐλόγησον· φυλάττων ἐν εἰρήνῃ τῶν Ὀρθοδόξων τὰ πλήθη, πρεσβείαις τῆς Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων σου.



Εἰς τὸν Στίχον. Δόξα Ἦχος πλ. ά.

Ὅσιε Πάτερ, καλὴν ἐφεῦρες κλίμακα, δι᾽ ἧς ἀνῆλθες ἐν τῷ ὕψει, ἣν εὗρεν Ἠλίας ἅρμα πυρός· ἀλλ᾽ ἐκεῖνος μὲν τὴν ἄνοδον ἄλλοις ȣ̓κ ἔλιπε, σὺ δὲ καὶ μετὰ θάνατον ἔχεις τὸν στῦλόν σου. Οὐράνιε Ἄνθρωπε, ἐπίγειε Ἄγγελε, φωστὴρ ἀκοίμητε τῆς Οἰκουμένης, Συμεὼν ὅσιε, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἰωάννου Μοναχοῦ. Ἦχος ὁ αὐτός.

Σὺ Βασιλεῦ ὁ ὢν ἀεὶ καὶ διαμένων καὶ εἰς αἰῶνας ἀτελευτήτους· δέξαι δυσώπησιν αἰτούντων ἁμαρτωλῶν σωτηρίαν, καὶ παράσχου φιλάνθρωπε τῇ γῇ σου εὐφορίαν, εὐκράτους τοὺς ἀέρας χαριζόμενος· τῷ πιστοτάτῳ Βασιλεῖ συμπολέμει, κατὰ ἀθέων Βαρβάρων, ὡς ποτὲ τῷ Δαβίδ, ὅτι ἦλθοσαν οὗτοι ἐν σκηναῖς σου, καὶ τὸν παναγίον τόπον ἐμίαναν Σῶτερ· ἀλλ᾽ αὐτὸς δώρησαι νίκας Χριστὲ ὁ Θεός, τῇ πρεσβείᾳ τῆς Θεοτόκου· νίκη γὰρ σὺ τῶν Ὀρθοδόξων καὶ καύχημα.

Ἀπολυτίκιον τῆς Ἰνδίκτου. Ἦχος β΄.

Ὁ πάσης Δημιουργὸς τῆς Κτίσεως, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος· Εὐλόγησον τὸν Στέφανον τοῦ Ἐνιαυτοῦ τῆς χρηστότητός σου Κύριε, φυλάττων ἐν εἰρήνῃ τοὺς Βασιλεῖς, καὶ τὴν Πόλιν σου, πρεσβείαις τῆς Θεοτόκου, καὶ σῶσον ἡμᾶς.

Δόξα. Τοῦ Ὁσίου. Ἦχος ά.

Ὑπομονῆς στῦλος γέγονας, ζηλώσας τοὺς Προπάτορας Ὅσιε, τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι. Συμεὼν Πατὴρ ἡμῶν ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ἦχος βαρύς.

Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε, λιμὴν καὶ προστασία τοῦ γένους τῶν ἀνθρώπων· ἐκ σȣ̃ γὰρ ἐσαρκώθη ὁ Λυτρωτὴς τοῦ Κόσμου, μόνη γὰρ ὑπάρχεις Μήτηρ καὶ Παρθένος ἀεὶ εὐλογημένη καὶ δεδοξασμένη

πρέσβευε Χριστῷ τῷ Θεῷ, εἰρήνην δωρήσασθαι πάσῃ τῇ Οἰκουμένῃ.

Κοντάκιον. Τοῦ Ὁσίου. Ἦχος β'.

Τὰ ἄνω ζητῶν, τοῖς κάτω συναπτόμενος, καὶ ἅρμα πυρὸς, τὸν στύλον ἐργασάμενος, δι' αὐτȣ̃ συνόμιλος, τῶν Ἀγγέλων γέγονας Ὅσιε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Εἰς τȣ̀ς Αἴνȣς. Δόξα. Τοῦ Ὁσίου. Ἦχος β'.

Ἐκ ῥίζης ἀγαθῆς, ἀγαθὸς ἐβλάστησε καρπὸς, ὁ ἐκ βρέφους ἱερὸς Συμεὼν, χάριτι μᾶλλον ἢ γάλακτι τραφεὶς· καὶ ἐπὶ πέτραν τὸ σῶμα ὑψώσας, πρὸς Θεὸν δὲ ὑπερυψώσας τὴν διάνοιαν, αἰθέριον διεδομήσατο ταῖς ἀρεταῖς ἐνδιαίτημα· καὶ ταῖς θείαις δυνάμεσι, συμμετεωροπορῶν, Χριστοῦ γέγονεν οἰκητήριον, τȣ̃ Θεοῦ καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἦχος πλ. δ'. Γερμανοῦ.

Ὁ ἀῤῥήτῳ σοφίᾳ συστησάμενος τὰ σύμπαντα, Λόγε Χριστὲ ὁ Θεὸς· ὁ καιρȣ̀ς καὶ χρόνους ἡμῖν προθέμενος, τὰ ἔργα τῶν χειρῶν σου εὐλόγησον· τὸν δὲ πιςὸν Βασιλέα ἐν τῇ δυνάμει σου εὔφρανον, διδοὺς αὐτῷ κατὰ βαρβάρων τὴν ἰσχὺν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

ΕΙΣ ΤΗΝ Ε'. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Τοῦ Ἁγίου Προφήτου Ζαχαρίου, τοῦ Πατρὸς τοῦ τιμίου Προδρόμου καὶ Βαπτιστοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ'. Ἰωάννου Μοναχοῦ.

Ἱερωσύνης νομικῆς, ἐνδεδυμένος ὄντως στολὴν, κατὰ τὴν τάξιν Ἀαρὼν ἐλειτούργησας· καὶ παρεστὼς ἐν τῷ Ναῷ, Ἀγγελικὴν μορφὴν ἐμφανῶς ἐθεάσω Παμμακάριστε· διό σου τὴν μετάστασιν ἅπαντες μέλποντες, χρεωστικῶς Ζαχαρία, ᾄσμασιν εὐφημοῦμεν, οἱ τὸν μετὰ

τὸ γῆρας ἐκβλαστήσαντα, Ἰωάννην τὸν ἔνδοξον· πρέσβευε ὑπὲρ ἡμῶν τὸν ἐλεήμονα Θεὸν σωθῆναι ἡμᾶς.

Εἰς τὸν Στίχον. Δόξα. Ἀνατολίου. Ἦχος β'.

Ὡς καθαρὸς Ἱερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων εἰσέδυς· καὶ τὴν στολὴν τὴν ἱερὰν ἐνδυσάμενος, ἀμέμπτως τῷ Θεῷ ἐλειτούργησας· ὡς Ἀαρὼν νομοθετῶν, καὶ ὡς Μωσῆς ὑποδηγῶν τὰς φυλὰς τοῦ Ἰσραὴλ, ἐν τῇ τῶν κωδώνων ἀκραιφνεῖ συμβουλῇ· διὸ καὶ πεφόνευσαι, ἀλλὰ τὸ αἷμά σου τὸ δίκαιον, ἡμῖν σωτήριον Βάπτισμα γέγονε· καὶ ὡς μῦρον εὐῶδες τὰς ἀκοὰς ἀνοίγει πρὸς πορισμὸν τῆς αἰωνίου ζωῆς, Ζαχαρία τρισόλβιε, τοῦ βαπτιστοῦ Ἰωάννου ὁ γενέτης. καὶ τῆς Ἐλισάβετ ὁ σύνευνος, ἐκτενῶς πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ἱερωσύνης στολισμὸν, περιβαλλόμενος Σοφὲ, κατὰ τὸν νόμον τοῦ Θεοῦ, ὁλοκαυτώματα δεκτὰ, ἱεροπρεπῶς προσενήνοχας Ζαχαρία· καὶ γέγονας φωστὴρ, καὶ θεατὴς μυστικῶν· τὰ σύμβολα ἐν σοὶ, τὰ τῆς χάριτος, φέρων ἐκδήλως πάνσοφε· καὶ ξίφει ἀναιρεθεὶς ἐν τῷ Ναῷ τοῦ Θεοῦ· Χριστοῦ Προφῆτα, σὺν τῷ Προδρόμῳ, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἡ Παρθένος. Ἦχος γ'.

Ὁ Προφήτης σήμερον, καὶ Ἱερεὺς τȣ̃ Ὑψίστȣ, Ζαχαρίας προὔθηκεν, ὁ τȣ̃ Προδρόμȣ γενέτης, τράπεζαν τῆς αὐτοῦ μνήμης, πιϛȣ̀ς ἐκτρέφων· πόμα δὲ δικαιοσύνης, πᾶσι κεράσας· διὰ τȣ̃το τελεῖται, ὡς θεῖος μύϛης Θεȣ̃ τῆς Χάριτος.

ΕΙΣ ΤΗΝ ς'. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Θαῦμα Μιχαὴλ τοῦ Ἀρχαγγέλου ἐν Κολασσαῖς.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Βυζαντίου.

Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Ἀγγέλων Ταξιαρχίαι· ὁ Πρωτοστάτης γὰρ ὑμῶν, καὶ ἡμέτερος Προστά-

της, ὁ μέγας Ἀρχιστράτηγος, τὴν σήμερον ἡμέραν, ἐν τῷ σεπτῷ αὐτοῦ τεμένει, παραδόξως ἐποπτανόμενος ἁγιάζει· ὅθεν καταχρέως, ἀνυμνοῦντες αὐτὸν, βοήσωμεν· σκέπασον ἡμᾶς, ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, μέγιστε Μιχαὴλ Ἀρχάγγελε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Παρθένων χοροστασίαι· ἡ προστασία γὰρ ἡμῶν, καὶ μεσίτρια καὶ σκέπη, μέγα καταφύγιον, τὴν σήμερον ἡμέραν, ἐν τῇ σεπτῇ αὐτῆς, καὶ θείᾳ προμηθείᾳ, τοὺς θλιβομένους παραμυθεῖται· ὅθεν καταχρέως, ἀνυμνοῦντες αὐτὴν βοήσωμεν· σκέπασον ἡμᾶς, ἐν τῇ θείᾳ προστασίᾳ σου, ἄχραντε Θεοτόκε Δέσποινα.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἰωάννου Μοναχοῦ.

Ἦχος πλ. δ΄.

Ὡς ταξιάρχης καὶ πρόμαχος, καὶ τῶν Ἀγγέλων ἀρχηγὸς ἀρχιστράτηγε, πάσης ἀνάγκης, καὶ θλίψεως, νόσου καὶ δεινῶν ἁμαρτημάτων ἐλευθέρωσον, τοὺς εἰλικρινῶς ἀνυμνοῦντας, καὶ αἰτουμένους σε ἔνδοξε· ἐναργῶς ὡς ἄϋλος τὸν ἄϋλον καθορῶν, καὶ τῷ ἀπροσίτῳ φωτὶ τῆς τοῦ Δεσπότου δόξης καταλαμπόμενος· αὐτὸς γὰρ φιλανθρώπως σάρκα δι᾽ ἡμᾶς ἐκ Παρθένου προσείληφε, σῶσαι βουληθεὶς τὸ ἀνθρώπινον.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγε, δυσωποῦμέν σε ἀεὶ ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς σαῖς δεήσεσι τειχίσῃς ἡμᾶς· σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου σου δόξης, φρουρῶν ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς Ταξιάρχης τῶν ἄνω Δυνάμεων.

Κοντάκιον. Ἦχος β΄.

Ἀρχιστράτηγε Θεοῦ, λειτουργὲ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγὲ, καὶ ἀρχηγὲ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρέσβευε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγος.

ΕΙΣ ΤΗΝ Η΄. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Τὸ Γενέσιον τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄. Σεργίου.

Σήμερον ὁ τοῖς νοεροῖς θρόνοις ἐπαναπαυόμενος Θεός, θρόνον ἅγιον ἐπὶ γῆς ἑαυτῷ προητοίμασεν· ὁ στερεώσας ἐν σοφίᾳ τοὺς οὐρανούς, οὐρανὸν ἔμψυχον, ἐν φιλανθρωπίᾳ κατεσκεύασεν· ἐξ ἀκάρπου γὰρ ῥίζης, φυτὸν ζωηφόρον, ἐβλάστησεν ἡμῖν τὴν Μητέρα αὐτοῦ· ὁ τῶν θαυμασίων Θεός, καὶ τῶν ἀνελπίστων ἐλπίς, Κύριε δόξα σοι.

Εἰς τὸν Στίχον.

Δόξα, καὶ νῦν. Σεργίου Ἁγιοπολίτου.

Ἦχος πλ. δ΄.

Δεῦτε ἅπαντες πιστοί, πρὸς τὴν Παρθένον δράμωμεν· ἰδοὺ γὰρ γεννᾶται ἡ πρὸ γαστρὸς προορισθεῖσα τοῦ Θεοῦ ἡμῶν Μήτηρ· τὸ τῆς Παρθενίας κειμήλιον· ἡ τοῦ Ἀαρὼν βλαστήσασα ῥάβδος, ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαί· τῶν Προφητῶν τὸ κήρυγμα, καὶ τῶν δικαίων Ἰωακεὶμ καὶ Ἄννης τὸ βλάστημα, γεννᾶται τοίνυν, καὶ ὁ Κόσμος σὺν αὐτῇ ἀνακαινίζεται· τίκτεται, καὶ ἡ Ἐκκλησία τὴν ἑαυτῆς εὐπρέπειαν καταστολίζεται· ὁ Ναὸς ὁ ἅγιος, τὸ τῆς Θεότητος δοχεῖον, τὸ Παρθενικὸν ὄργανον, ὁ Βασιλικὸς θάλαμος, ἐν ᾧ τὸ παράδοξον τῆς ἀποῤῥήτου ἑνώσεως, τῶν συνελθουσῶν ἐπὶ Χριστοῦ φύσεων, ἐτελεσιουργήθη Μυστήριον· ὃν προσκυνοῦντες ἀνυμνοῦμεν, τὴν τῆς Παρθένου πανάμωμον Γέννησιν.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ἡ Γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ Οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς Δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατά-

ραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

Κοντάκιον. Ἦχος δ'.

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ Γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων λυτρωθεὶς ἐν τῷ κράζειν σοι· ἡ Στεῖρα τίκτει Θεοτόκον, καὶ τροφὴν τῆς ζωῆς ἡμῶν.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί· ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ νυμφὼν, καὶ ἡ βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε· καὶ ἡ κατὰ Ἀνατολὰς πύλη ἀποκυηθεῖσα, προσμένει τὴν εἴσοδον τοῦ Ἱερέως τοῦ μεγάλου· μόνη, καὶ μόνον εἰσάγουσα Χριστὸν εἰς τὴν Οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΗΝ Θ'. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Τῶν Ἁγίων, καὶ Δικαίων Θεοπατόρων καὶ ἀειμνήστων Ἰωακεὶμ, καὶ Ἄννης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἐφραὶμ Καρίας. Ἦχος πλ. α'.

Ὢ Μακαρία Δυὰς, ὑμεῖς πάντων γεννητόρων ὑπερήρθητε, ὅτι τὴν τῆς Κτίσεως πάσης ὑπερέχουσαν ἐβλαστήσατε· ὄντως μακάριος εἶ Ἰωακεὶμ, τοιαύτης Παιδὸς χρηματίσας Πατήρ· μακαρία ἡ μήτρα σου Ἄννα, ὅτι τὴν Μητέρα τῆς ζωῆς ἡμῶν ἐβλάστησε· μακάριοι οἱ μαστοὶ οὓς ἐθήλασας, τὴν γαλακτοτροφήσασαν τὸν τρέφοντα πᾶσαν πνοήν· ὃν δυσωπεῖν ἡμᾶς παμμακάριστοι αἰτούμεθα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Οἱ ἐξ ἀκάρπων λαγόνων, Ῥάβδον ἁγίαν τὴν Θεοτόκον βλαστήσαντες, ἐξ ἧς ἡ σωτηρία τῷ Κόσμῳ ἀνέτειλε

Χριστὸς ὁ Θεός· τὸ ζεῦγος τὸ ἅγιον, ἡ ξυνωρὶς ἡ ἁγία, Ἰωακεὶμ καὶ Ἄννα· οὗτοι μεταστάντες πρὸς οὐρανίους σκηνὰς σὺν τῇ αὐτῶν Θυγατρὶ ὑπεραχράντῳ Παρθένῳ, μετ' Ἀγγέλων χορεύουσι, ὑπὲρ τοῦ Κόσμου πρεσβειαν ποιούμενοι· οἷς καὶ ἡμεῖς, συνελθόντες εὐσεβῶς, ὑμνοῦντες λέγομεν· οἱ διὰ τῆς Θεόπαιδος καὶ πανάγνου Μαρίας, Προπάτορες Χριστοῦ χρηματίσαντες, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος β'.

Τῶν Δικαίων σου Κύριε τὴν μνήμην ἑορτάζοντες, δι' αὐτῶν σε δυσωποῦμεν, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Εὐφραίνεται νῦν, ἡ Ἄννα τῆς στειρώσεως, λυθεῖσα δεσμῶν, καὶ τρέφει τὴν πανάχραντον· συγκαλοῦσα ἅπαντας, ἀνυμνῆσαι τὸν δωρησάμενον, ἐκ νηδύος αὐτῆς τοῖς βροτοῖς, τὴν μόνην Μητέρα καὶ ἀπείρανδρον.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος β'.

Πρὸς τό, Σήμερον ὁ Χριστὸς ἐν Βηθλεέμ.

Σήμερον ἡ πανάμωμος Ἁγνὴ προῆλθεν ἐκ τῆς στείρας· σήμερον τὰ πάντα εὐφραίνονται ἐν τῇ αὐτῆς γεννήσει· ὁ Ἀδὰμ τῶν δεσμῶν ἀπολύεται· καὶ ἡ Εὔα τῆς ἀρᾶς ἠλευθέρωται· τὰ οὐράνια πάντα ἀγάλλονται, καὶ εἰρήνη τοῖς ἀνθρώποις βραβεύεται· ἡμεῖς δὲ δοξολογοῦντες βοῶμεν· δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

ΕΙΣ ΤΗΝ ΙΓ'. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Τὰ Ἐγκαίνια τῆς ἁγίας τοῦ Χριστοῦ ἡμῶν Ἀναστάσεως, καὶ Προέορτια τοῦ τιμίου Σταυροῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Ἰωάννου Μοναχοῦ.

Τὴν μνήμην τῶν Ἐγκαινίων, ἐπιτελοῦντες Κύριε· σὲ τὸν τοῦ ἁγιασμοῦ δοτῆρα δοξάζομεν, δεόμενοι, ἁγια-

σθῆναι ἡμῶν τὰ αἰσθητήρια τῶν ψυχῶν, τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀθλοφόρων, Ἀγαθὲ Παντοδύναμε.

Καὶ νῦν. Ὁ αὐτός.

Σήμερον Ξύλον ἐφανερώθη· σήμερον γένος Ἑβραίων ἀπώλετο· σήμερον διὰ πιστῶν Βασιλέων ἡ Πίστις φανεροῦται, καὶ ὁ Ἀδὰμ διὰ τοῦ ξύλου ἐξέπεσε, καὶ πάλιν διὰ Ξύλου δαίμονες ἔφριξαν· παντοδύναμε Κύριε δόξα σοι.

Εἰς τὸν Στίχον. Δόξα. Ἀνατολίου. Ἦχος β΄.

Τὸν Ἐγκαινισμὸν τελοῦντες, τοῦ πανιέρου Ναοῦ τῆς σῆς Ἀναστάσεως, σὲ δοξάζομεν Κύριε, τὸν ἁγιάσαντα τοῦτον, καὶ τελειώσαντα τῇ αὐτοτελεῖ σου χάριτι, καὶ τερπόμενον ταῖς ἐν αὐτῷ ἱερουργουμέναις, ὑπὸ πιστῶν μυστικαῖς καὶ ἱεραῖς Τελεταῖς, καὶ προσδεχόμενον ἐκ χειρὸς τῶν δούλων σου, τὰς ἀναιμάκτους καὶ ἀχράντους Θυσίας· ἀντιδιδόντα τε τοῖς ὀρθῶς προσφέρουσι, τὴν ἁμαρτημάτων κάθαρσιν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός.

Θεῖος θησαυρὸς ἐν γῇ κρυπτόμενος, τοῦ ζωοδότου ὁ Σταυρὸς, ἐν Οὐρανοῖς ἐδείκνυτο Βασιλεῖ εὐσεβεῖ, καὶ νίκας κατ᾽ ἐχθρῶν, ὑπογραμμὸς δηλῶν νοερῶς· ὃν γεγηθὼς πίστει καὶ πόθῳ, θεόθεν ἀναδραμὼν πρὸς θεωρίας ὕψωμα, σπουδῇ δὲ τοῦτον, ἐκ γῆς λαγόνων ἀνέθωρεν, εἰς Κόσμου λύτρον, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ ἁγίου Σκηνώματος τῆς δόξης σου Κύριε, κραταίωσον αὐτὸν εἰς αἰῶνα αἰῶνος, καὶ πρόσδεξαι ἡμῶν, τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις, πρεσβείαις τῆς Θεοτόκου, ἡ πάντων ζωὴ, καὶ Ἀνάστασις.

Δόξα, καὶ νῦν. Ἦχος β΄.

Τὸν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις Κύριε, σοὶ προσάγομεν εἰς

πρεσβείαν· σῶζε τοὺς Βασιλεῖς καὶ τὴν πόλιν σου, ἱκετεύοντας διὰ τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Οὐρανὸς πολύφωτος ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας, φωταγωγοῦσα τοὺς πιστούς. ἐν ᾧ ἑστῶτες κραυγάζομεν· τοῦτον τὸν οἶκον στερέωσον Κύριε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος γ'.

Πρὸς ἑαυτὸν ἐπανάγου ἄνθρωπε, γενοῦ καινὸς ἀντὶ παλαιοῦ, καὶ ψυχῇ ἑόρταζε τὰ Ἐγκαίνια· ἕως καιρὸς ὁ βίος ἐγκαινιζέσθω σοι, πάσης πολιτείας ὁδός· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά· τοῦτο τῆς Ἑορτῆς καρποφόρησον, τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούμενος· οὕτως ἐγκαινίζεται ἄνθρωπος· οὕτω τιμᾶται ἡ τῶν Ἐγκαινίων ἡμέρα.

Καὶ νῦν. Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἑκούσιόν σου Σταύρωσιν, εἰς κοινὴν ἐξανάστασιν, τοῦ γένους τῶν ἀνθρώπων καταδεξάμενος, καὶ τῷ καλάμῳ τοῦ Σταυροῦ, βαφαῖς ἐρυθραῖς τοὺς σαυτοῦ δακτύλους αἱματώσας, τοῖς ἀφεσίμοις ἡμῖν, βασιλικῶς ὑπογράψαι φιλανθρωπευσάμενος· μὴ παρίδῃς ἡμᾶς κινδυνεύοντας, καὶ πάλιν τὴν ἀπὸ σοῦ διάστασιν· ἀλλ' οἰκτείρησον μόνε μακρόθυμε, τὸν ἐν περιστάσει λαόν σου, καὶ ἀνάστηθι πολέμησον, τοὺς πολεμοῦντας ἡμᾶς ὡς παντοδύναμος.

ΕΙΣ ΤΗΝ ΙΔ'. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Η Παγκόσμιος Ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Δεῦτε ἅπαντα τὰ Ἔθνη τὸ εὐλογημένον Ξύλον προσκυνήσωμεν, δι' οὗ γέγονεν ἡ αἰώνιος δικαιοσύνη, τὸν γὰρ Προπάτορα Ἀδὰμ ὁ ἀπατήσας ἐν Ξύλῳ, τῷ Σταυρῷ δελεάζεται, καὶ πίπτει κατενεχθεὶς πτῶμα ἐξαίσιον,

ὁ τυραννίδι κρατήσας τοῦ Βασιλείου πλάσματος. Αἵματι Θεοῦ, ὁ ἰὸς τοῦ ὄφεως ἀποπλύνεται, καὶ κατάρα λέλυται καταδίκης δικαίας, ἀδίκῳ δίκῃ τοῦ Δικαίου κατακριθέντος. Ξύλῳ γὰρ ἔδει τὸ ξύλον ἰάσασθαι, καὶ πάθει τοῦ ἀπαθοῦς, τὰ ἐν ξύλῳ λῦσαι πάθη τοῦ κατακρίτου. Ἀλλὰ δόξα Χριστὲ Βασιλεῦ τῇ περὶ ἡμᾶς σου φρικτῇ οἰκονομίᾳ, δι᾿ ἧς ἔσωσας πάντας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἰωάννου Μοναχοῦ.

Ἦχος πλ. δ΄.

Ὅνπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τὸν Ἀμαλὴκ καταβαλὼν ἐτροπώσατο· καὶ Δαυῒδ ὁ μελῳδός, ὑποπόδιόν σοι βοῶν, προσκυνεῖσθαι διετάξατο, τίμιον Σταυρόν σου Χριστὲ ὁ Θεός, σήμερον ἁμαρτωλοὶ προσκυνοῦμεν, χείλεσιν ἀναξίοις, σὲ τὸν καταξιώσαντα παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες βοῶμέν σοι· Κύριε σὺν τῷ Λῃστῇ, τῆς Βασιλείας σου ἀξίωσον ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος α΄.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Κοντάκιον Αὐτόμελον. Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ Θεός. Εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄.

Σήμερον προέρχεται ὁ Σταυρὸς τοῦ Κυρίου, καὶ πιστοὶ εἰσδέχονται αὐτὸν ἐκ πόθου, καὶ λαμβάνουσιν ἰάματα ψυχῆς τε καὶ σώματος, καὶ πάσης μαλακίας. Αὐτὸν ἀσπασώμεθα τῇ χαρᾷ καὶ τῷ φόβῳ· φόβῳ διὰ τὴν ἁμαρ-

τίαν, ὡς ἀνάξιοι ὄντες, χαρᾷ δὲ διὰ τὴν σωτηρίαν, ἣν παρέχει τῷ Κόσμῳ, ὁ ἐν αὐτῷ προσπαγεὶς Χριστὸς ὁ Κύριος, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν Ἀσπασμὸν τοῦ Τιμίου Σταυροῦ. Δόξα, καὶ νῦν.

Ἦχος πλ. δ'.

Ἡ φωνὴ τοῦ Προφήτου σου, Μωϋσέως ὁ Θεός, πεπλήρωται ἡ λέγουσα· ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν· σήμερον Σταυρὸς ὑψοῦται, καὶ Κόσμος ἐκ πλάνης ἠλευθέρωται· σήμερον τοῦ Χριστοῦ ἡ Ἀνάστασις ἐγκαινίζεται, καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλονται, ἐν κυμβάλοις Δαυϊτικοῖς ὕμνον σοι προσφέροντα, καὶ λέγοντα· εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεός, Σταυρὸν καὶ τὴν Ἀνάστασιν· δι' ὧν ἡμᾶς ἔσωσας, ἀγαθὲ καὶ φιλάνθρωπε, παντοδύναμε Κύριε, δόξα σοι.

ΕΙΣ ΤΗΝ ΙϚ'. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Τῆς Ἁγίας Μεγαλομάρτυρος Εὐφημίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'. Ἀνατολίου.

Ἡ διηνθισμένη ταῖς ἀρεταῖς, καὶ πεφωτισμένη τὸν λογισμόν, ἡ μῦρα προχέουσα, ἐν ταῖς καρδίαις τῶν πιστῶν, ἡ ἐκ τῆς Ἑῴας ἀνατείλασα, ὡς ἀστὴρ φαεινός, καὶ ἀθροισμὸν ποιήσασα, τῆς τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως, τοὺς Θείους Πατέρας μὴ διαλίπῃς ὑπὲρ ἡμῶν δυσωποῦσα πρὸς Κύριον, Εὐφημία πανένδοξε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Ὁ τετραπέρατος Κόσμος σήμερον ἁγιάζεται, τοῦ τετραμεροῦς ὑψουμένου σου Σταυροῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ τὸ κέρας τῶν πιστῶν συνυψοῦται Βασιλέων ἡμῶν, ἐν αὐτῷ τῶν δυσμενῶν συντριβόντων τὰ κέρατα· μέγας εἶ Κύριε, καὶ θαυμαστὸς ἐν τοῖς ἔργοις σου, δόξα σοι.

Εἰς τὸν Στίχον. Δόξα. Βυζαντίου. Ἦχος πλ. δ'.

Πᾶσα γλῶσσα κινείσθω πρὸς εὐφημίαν τῆς πανενδόξου Εὐφημίας· ἅπαν γένος, καὶ ἡλικία πᾶσα, νεανίσκοι καὶ Παρθένοι, τὴν Χριστοῦ Παρθενομάρτυρα ἐγκωμίοις στεφανώσωμεν· νομίμως γὰρ ἀνδρισαμένη, καὶ τὸ χαῦνον τοῦ θήλεος ἀποῤῥίψασα, δι' ἀθλητικῶν πόνων, τὸν τύραννον ἐχθρὸν καταβέβληκεν. Οὐρανίῳ δὲ καὶ θείῳ σθένει κοσμηθεῖσα, αἰνεῖται τῷ Νυμφίῳ καὶ Θεῷ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός.

Ὅνπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τὸν Ἀμαλὴκ καταβαλὼν ἐτροπώσατο· καὶ Δαυῒδ ὁ μελῳδὸς, ὑποπόδιόν σοι βοῶν, προσκυνεῖσθαι διετάξατο, τίμιον Σταυρόν σου Χριστὲ ὁ Θεὸς, σήμερον ἁμαρτωλοὶ προσκυνοῦμεν, χείλεσιν ἀναξίοις, σὲ τὸν καταξιώσαντα παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες βοῶμέν σοι· Κύριε σὺν τῷ Λῃστῇ, τῆς Βασιλείας σου ἀξίωσον ἡμᾶς.

Ἀπολυτίκιον τῆς Ἁγίας. Ἦχος δ'.

Ἡ Ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ Βαπτισμῷ σου· καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω ἐν σοὶ, καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω σὺν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι· αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ τῆς Ἑορτῆς. Ἦχος ά.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Κοντάκιον. Χειρόγραφον Εἰκόνα. Ἦχος β'.

Ἀγῶνας ἐν ἀθλήσει, ἀγῶνας ἐν τῇ πίστει, κατεβάλου θερμῶς, ὑπὲρ Χριστοῦ τοῦ Νυμφίου σου· ἀλλὰ καὶ νῦν ὡς τὰς αἱρέσεις, καὶ τῶν ἐχθρῶν τὸ φρύαγμα, ἐν

τοῖς ποσὶ τῶν Βασιλέων ἡμῶν ὑποταγῆναι, πρέσβευε διὰ τῆς Θεοτόκου, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων, ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἰωάννου Μοναχοῦ.

Ἦχος πλ. β΄.

Ἐκ δεξιῶν τοῦ Σωτῆρος, παρέστη ἡ Παρθένος καὶ ἀθληφόρος καὶ Μάρτυς, περιβεβλημένη ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως· καὶ βοῶσα πρὸς αὐτόν· ἐν ἀγαλλιάσει τὴν λαμπάδα κατέχουσα εἰς ὀσμὴν μύρου σου ἔδραμον Χριστὲ ὁ Θεός, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ· μὴ χωρίσῃς με Νυμφίε Ἐπουράνιε· αὐτῆς ταῖς ἱκεσίαις, κατάπεμψον ἡμῖν, παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου.

Καὶ νῦν. Τοῦ αὐτοῦ. Ὁ αὐτός.

Σήμερον τὸ φυτὸν τῆς ζωῆς, ἐκ τῶν τῆς γῆς ἀδύτων ἀνιστάμενον, τοῦ ἐν αὐτῷ παγέντος Χριστοῦ πιστοῦται τὴν Ἀνάστασιν, καὶ ἀνυψούμενον χερσὶν ἱεραῖς, τὴν αὐτοῦ πρὸς Οὐρανοὺς καταγγέλλει ἀνύψωσιν, δι' ἧς τὸ ἡμέτερον φύραμα, ἐκ τῆς εἰς γῆν καταπτώσεως, εἰς Οὐρανοὺς πολιτεύεται. Διὸ εὐχαρίστως βοήσωμεν· Κύριε ὁ ὑψωθεὶς ἐν αὐτῷ, καὶ δι' αὐτοῦ συνανυψώσας ἡμᾶς, τῆς οὐρανίου χαρᾶς ἀξίωσον τοὺς ὑμνοῦντάς σε.

ΕΙΣ ΤΗΝ Κ΄. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Τοῦ Ἁγίου μεγαλομάρτυρος Εὐσταθίου καὶ τῆς Συνοδίας αὐτοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β΄. Ἐφραὶμ Καρίας.

Ὁ δεύτερος Ἰὼβ Εὐστάθιος, τῷ βίῳ τοὺς ἄθλους καὶ τοὺς στεφάνους, εἰς προτροπὴν ἀρετῶν ἑαυτὸν ἡμῖν προέθηκε, καὶ στήλην καρτερίας, ὑπερβὰς ἀληθῶς τὸν Ἰώβ, τῇ ἀρετῇ τῇ συζύγῳ καὶ τοῖς τέκνοις, ὁ πιστὸς ἐν βίῳ, καὶ ἀκράδαντος ἐν τοῖς πειρασμοῖς, καὶ ἐν ἀθλήσει

νικηφόρος, ὃν προσάξωμεν εἰς πρεσβείαν Χριστῷ, τοῦ δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, φωτισμὸν καὶ ἱλασμὸν, τῶν πλημμελημάτων.

Καὶ νῦν. Ἦχος ὁ αὐτός. Θεοφάνους.

Θεῖος θησαυρὸς, ἐν γῇ κρυπτόμενος, τοῦ Ζωοδότου ὁ Σταυρὸς, ἐν Οὐρανοῖς ἐδείκνυτο Βασιλεῖ εὐσεβεῖ, καὶ νίκας κατ' ἐχθρῶν, ὑπογραμμὸς δηλῶν νοερῶς, ὃν γεγηθὼς πίστει καὶ φόβῳ, θεόθεν ἀναδραμὼν, πρὸς θεωρίας ὕψωσιν, σπουδῇ δὲ τοῦτον ἐκ γῆς λαγόνων ἀνέθωρεν, εἰς Κόσμου λύτρον, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον. Δόξα. Ἦχος πλ. β'.

Ἀδαμάντινε τὴν ψυχὴν, πῶς σε κατ' ἀξίαν ἐπαινέσωμεν; τὴν γὰρ φύσιν ὑπερέβης, χρημάτων καὶ παίδων, καὶ τῆς συμβίου στερούμενος, τὴν μακαρίαν ἐκείνην καὶ ἀοίδιμον φωνὴν τοῦ Ἰὼβ ἐξεβόησας· ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· ἀλλ' ὃν ἠγάπησας Θεὸν, καὶ ὃν θερμῶς ἐπεπόθησας, πάλιν σοι τοὺς φιλτάτους ἐδωρήσατο· συναθλητὰς γενέσθαι σοι προμηθευσάμενος· μεθ' ὧν διὰ ποικίλων βασάνων, τὸ μακάριον τέλος διήνυσας· αὐτοὺς καὶ συμπρεσβευτὰς σου λαβόμενος, καρτερόψυχε Εὐστάθιε, δυσώπησον λυτρωθῆναι ἡμᾶς, τῶν ἀνομιῶν ἡμῶν.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Σήμερον προέρχεται ὁ Σταυρὸς τοῦ Κυρίου, καὶ πιστοὶ εἰσδέχονται αὐτὸν ἐκ πόθου, καὶ λαμβάνουσιν ἰάματα, ψυχῆς τε καὶ σώματος καὶ πάσης μαλακίας· αὐτὸν ἀσπασώμεθα τῇ χαρᾷ καὶ τῷ φόβῳ· φόβῳ διὰ τὴν ἁμαρτίαν, ὡς ἀνάξιοι ὄντες· χαρᾷ δὲ διὰ τὴν σωτηρίαν, ἣν παρέχει τῷ Κόσμῳ, ὁ ἐν αὐτῷ προσπαγεὶς Χριστὸς ὁ Κύριος, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος δ'.

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο, τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχοντες τὴν ἰσχύν σου, τοὺς Τυράννους καθεῖλον·

ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση· αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεὸς σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὰ Πάθη Χριστοῦ, σαφῶς μιμησάμενος, καὶ τούτου πιὼν πιστῶς τὸ ποτήριον, κοινωνὸς Εὐστάθιε, καὶ τῆς δόξης σύγκληρος γέγονας, παρ' αὐτοῦ τοῦ πάντων Θεοῦ, λαμβάνων ἐξ ὕψους θείαν ἄφεσιν.

Εἰς τοὺς Αἴνους. Δόξα. Γερμανοῦ Ἦχος πλ. δ'.

Τὴν στρατοπεδαρχίαν τῆς κατω Βασιλείας ἀπολαβόμενος, καὶ διὰ ζώου ὀφθέντος σοι ἐν εἰκόνι τοῦ Σωτῆρος ἡμῶν, νῦν συγχορεύεις τοῖς ἄνω, σὺν γυναικί σου καὶ τέκνοις, παμμάκαρ Εὐστάθιε· διὸ δυσωποῦμέν σε, τῷ Κυρίῳ πρεσβεύειν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Ὅνπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τὸν Ἀμαλὴκ καταβαλὼν ἐτροπώσατο· καὶ Δαυῒδ ὁ μελῳδὸς, ὑποπόδιόν σοι βοῶν, προσκυνεῖσθαι διετάξατο· τίμιον Σταυρόν σου Χριστὲ ὁ Θεὸς, σήμερον ἁμαρτωλοὶ προσκυνοῦμεν, χείλεσιν ἀναξίοις, σὲ τὸν καταξιώσαντα παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες βοῶμέν σοι· Κύριε σὺν τῷ Λῃστῇ τῆς Βασιλείας σου ἀξίωσον ἡμᾶς.

Ἀποστίχων. Δόξα. Ἦχος πλ. δ'.

Ὥσπερ ὁ Παῦλος τὴν κλῆσιν, οὐκ ἐξ ἀνθρώπων δεξάμενος, Μάρτυς Εὐστάθιε· καὶ αὐξάνων ἐν Θεῷ τῇ τοῦ Σταυροῦ πεποιθήσει, τῶν Τυράννων τὸ δυσσεβὲς καὶ τῶν βασάνων τὸ ἀπηνὲς ἀνδρείως κατῄσχυνας· διὸ καὶ μέχρις αἵματος ἀντικατέστης πρὸς τὴν ἁμαρτίαν, πρὸς ἀοράτους ἐχθροὺς ἀνταγωνισάμενος, καὶ πρεσβεύεις ἀπαύστως τῷ Βασιλεῖ, καὶ Θεῷ, δωρηθῆναι τῇ Οἰκουμένῃ εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός.

Ἡ Φωνὴ τοῦ Προφήτου σου, Μωϋσέως ὁ Θεὸς, πεπλήρωται ἡ λέγουσα· ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν· σήμερον Σταυρὸς

ὑψοῦται, καὶ Κόσμος ἐκ πλάνης ἠλευθέρωται· σήμερον τοῦ Χριστοῦ ἡ Ἀνάστασις ἐγκαινίζεται, καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλονται, ἐν κυμβάλοις Δαυϊτικοῖς ὕμνον σοι προσφέροντα, καὶ λέγοντα· εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεός, Σταυρὸν καὶ τὴν Ἀνάστασιν· δι' ὧν ἡμᾶς ἔσωσας, ἀγαθὲ καὶ φιλάνθρωπε, παντοδύναμε Κύριε, δόξα σοι.

ΕΙΣ ΤΗΝ ΚΓ'. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Ἡ Σύλληψις τοῦ τιμίου καὶ ἐνδόξου Προδρόμου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Βυζαντίου.

Ἐκ στειρευούσης σήμερον νηδύος, καρπὸς προσευχῆς ἀνεβλάστησεν, Ἰωάννης ὁ Πρόδρομος· ἀγάλλου ἡ ἔρημος, καὶ χόρευε ἡ ἀνθρωπότης· ὁ γὰρ τῆς μετανοίας κήρυξ, ἰδοὺ ἔρχεται, ἐν κοιλίᾳ μητρικῇ σαρκοῦσθαι· δεῦτε ἀγαλλόμενοι ἐν τῇ ἐνδόξῳ αὐτοῦ Συλλήψει, οἱ φιλέορτοι χορεύσωμεν βοῶντες· ὁ ἐν γεννητοῖς γυναικῶν μείζων ὑπάρχων, μὴ διαλίπῃς πρεσβεύειν, ὑπὲρ τῶν πίστει τελούντων, τὴν θείαν σου Σύλληψιν· ὅπως εὕρωμεν ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν στίχον. Δόξα. Ἦχος πλ. β'.

Ἄγγελος, ἐκ στειρωτικῶν ὠδίνων προῆλθες Βαπτιστά, ἐξ αὐτῶν τῶν σπαργάνων, τὴν ἔρημον οἰκήσας, σφραγίς τε πάντων τῶν Προφητῶν ἐδείχθης· ὃν γὰρ ἐκεῖνοι πολυτρόπως ἐθεάσαντο, καὶ αἰνιγματωδῶς προεκήρυξαν, τοῦτον βαπτίσαι ἐν Ἰορδάνῃ κατηξιώθης. Φωνῆς τε ἀκήκοας πατρικῆς οὐρανόθεν, μαρτυρούσης αὐτοῦ τὴν Υἱότητα, καὶ τὸ Πνεῦμα εἶδες, περιστερᾶς ἐν εἴδει, τὴν φωνὴν ἕλκον ἐπὶ τὸν βαπτιζόμενον· ἀλλ' ὦ πάντων τῶν Προφητῶν ὑπέρτερε, μὴ διαλίπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν τῶν πιστῶν σου τελούντων τὸ μνημόσυνον.

'Απολυτίκιον. Ἦχος δ'.

Ἡ πρώην οὐ τίκτουσα, Στεῖρα εὐφράνθητι· ἰδοὺ γὰρ συνέλαβες, Ἡλίου λύχνον σαφῶς, φωτίζειν τὸν μέλλοντα, πᾶσαν τὴν Οἰκουμένην, ἀβλεψίαν νοσοῦσαν· χόρευε Ζαχαρία, ἐκβοῶν παῤῥησίᾳ· Προφήτης τοῦ Ὑψίστου ἐστιν, ὁ μέλλων τίκτεσθαι.

Κοντάκιον. Ἦχος ά. Χορὸς Ἀγγελικός.

Εὐφραίνεται λαμπρῶς, Ζαχαρίας ὁ μέγας, σὺν τῇ πανευκλεεῖ, Ἐλισάβετ συζύγῳ, ἀξίως συλλαμβάνοντες Ἰωάννην τὸν Πρόδρομον· ὃν Ἀρχάγγελος, εὐηγγελίσατο χαίρων, καὶ οἱ ἄνθρωποι, ἀξιοχρέως τιμῶμεν, ὡς Μύστην τῆς χάριτος.

Εἰς τοὺς Αἴνους. Δόξα καὶ νῦν. Ἦχος. πλ. β'.

Ἡ Ἐλισάβετ συνέλαβε τὸν Πρόδρομον τῆς χάριτος, ἡ δὲ Παρθένος τὸν Κύριον τῆς δόξης· ἠσπάσαντο ἀλλήλαις αἱ Μητέρες, καὶ τὸ βρέφος ἐσκίρτησεν· ἔνδοθεν γὰρ ὁ δοῦλος ᾔνει τὸν Δεσπότην. Θαυμάσασα ἡ Μήτηρ τοῦ Προδρόμου, ἤρξατο βοᾶν· πόθεν μοι τοῦτο, ἵνα ἡ Μήτηρ τοῦ Κυρίου μου ἔλθῃ πρός με; ἵνα σώσῃ, λαὸν ἀπεγνωσμένον, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ἀποστίχου. Δόξα. Ἦχος πλ. β'.

Ἔνσαρκε λύχνε, Πρόδρομε τοῦ Σωτῆρος, βλάστημα στείρας, φίλε τοῦ ἐκ Παρθένου, ὃν σκιρτήμασι νηδύος προσεκύνησας, καὶ ἐβάπτισας νάμασι τοῦ Ἰορδάνου· τούτῳ πρέσβευε δεόμεθα Προφῆτα, τὰς τῶν μελλόντων ἐκφυγεῖν τρικυμίας.

ΕΙΣ ΤΗΝ ΚΔ'. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ Ἰσαποστόλου Θέκλης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Ἀνατολίου.

Ἀθλητικοῖς παλαίσμασι, τὸν ἐχθρὸν κατεπάτησας Θέκλα παμμακάριστε· καὶ τὰς τούτου μηχανάς, μέ

τυρικῶς συντρίψασα. Θάμυριν ἔφυγες, καὶ Χριστῷ ἐνυμφεύθης τῷ ἀληθεῖ ἐραστῇ· τοῦ Παύλου συνόμιλε, καὶ τοῦ Στεφάνου σύναθλε, παῤῥησίαν ἔχουσα, Πρωτομάρτυς Χριστοῦ ἐν γυναιξὶ, τῶν πιστῶς ἐκτελούντων τὴν πανέορτον μνήμην σου, ἐκ κινδύνων λύτρωσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Τριήμερος ἀνέστης.

Τὸ μέγα μȣ προσφύγιον, ἐλπίς τε καὶ προστάτις μȣ, σὺ ὑπάρχεις, Μητροπάρθενε Ἁγνή· σπεῦσον τοίνυν ἐν τάχει, καὶ ῥῦσαί με τῶν κύκλῳ κακῶν συνεπιτιθεμένων μοι.

Εἰς τὸν Στίχον. Δόξα. Ἀνατολίου. Ἦχος πλ. δ'.

Λεόντων ὁρμὰς κατεπάτησας, καὶ Θάμυριν καταισχύνασα, Πρωτομάρτυς Ἀπόστολε, ἠκολούθησας τῷ Νυμφίῳ σου κράζουσα· εἰς ὀσμὴν μύρου σου ἔδραμον Χριστέ· διὸ καὶ Παῦλον διώκουσα, ἐξ Οὐρανοῦ ἐδέξω τὸ χάρισμα, καὶ τὸ στέφος κεκλήρωσαι παρὰ τοῦ ἀθλοθέτου Θεοῦ· καὶ πρεσβεύεις ἀπαύστως δωρηθῆναι πταισμάτων ἱλασμὸν, τοῖς ἐν πίστει ἐκτελοῦσι τὸ Ἱερόν σου μνημόσυνον.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ἡ Ἀμνάς σȣ Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ Βαπτισμῷ σου· καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω ἐν σοὶ, καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω σὺν σοί. Ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ὡς ἀπαρχὰς τῆς φύσεως. Ἦχος πλ. δ'.

Τῆς Παρθενίας τῷ κάλλει ἐξέλαμψας, τοῦ Μαρτυρίου Στεφάνῳ κεκόσμησαι, Ἀποστολὴν πιστευθῇ, Παρθένε ὡς ἔνδοξος, καὶ τοῦ πυρὸς μὲν τὴν φλόγα εἰς δρόσον μετέβαλες, ταύρου δὲ θυμὸν προσευχῇ σου κατέῤῥαξας, ὡς Πρωτόαθλος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος δ'.

Τὴν σὴν ὑπὲρ ἄνθρωπον ἄθλησιν, Πρωτομάρτυς Χριςȣ, οὐκ ἀνθρώπων μόνον ἐθαύμασαν τὰ Ἔθνη, ἀλλὰ καὶ

θῆρες τεθήπασιν ἄγριοι· αἱ φλόγες, οὐ φλόγες ἐλογίσθησάν σοι καλλιπάρθενε Θέκλα, διὰ τὸν σὸν Νυμφίον Χριστόν· γέγονας γὰρ δι' αὐτὸν πάσχουσα, καὶ Κόσμου χωριζομένη, ἵνα τῆς ἐπουρανίου τύχῃς μακαριότητος· ἐν παῤῥησίᾳ πρεσβεύουσα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς Γενναῖον ἐν Μάρτυσιν.

Ἐπομβρίαις τοῦ Πνεύματος, τοῦ ἁγίου Πανάχραντε, τὴν ἐμὴν διάνοιαν καταδρόσισον, ἡ τὴν σταγόνα κυήσασα, Χριστὸν τὸν ἀμέτρητον, ἀνομίας τῶν βροτῶν, οἰκτιρμοῖς ἀποσμήχοντα, ἀπεξήρανον, τὴν πηγὴν τῶν παθῶν μου, καὶ χειμάῤῥου, καταξίωσον τρυφῆς με, τῆς ἀειζώου Πανάχραντε.

ΕΙΣ ΤΗΝ ΚϚʹ. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος βʹ. Γερμανοῦ, οἱ δὲ Βυζαντίου.

Τὸν υἱὸν τῆς βροντῆς, τὸ θεμέλιον τῶν θείων λόγων, τὸν ἀρχηγὸν τῆς Θεολογίας, καὶ κήρυκα πρώτιστον τῆς ἀληθοῦς δογμάτων Θεοῦ Σοφίας, τὸν ἠγαπημένον Ἰωάννην καὶ Παρθένον, μερόπων γένος καταχρέως εὐφημήσωμεν· οὗτος γὰρ ἄληκτον ἔχων τὸ θεῖον ἐν ἑαυτῷ, τὸ ἐν Ἀρχῇ μὲν ἔφησε τοῦ λόγου, αὖθίς τε τὸ πρὸς τὸν Πατέρα ἀχώριστον, καὶ τὸ ἴσον μετὰ ταῦτα τῆς τοῦ Πατρὸς οὐσίας, δεικνύων ἡμῖν δι' αὐτοῦ, τὴν Ὀορθοδοξίαν τῆς ἁγίας Τριάδος· δημιουργόν τε ὄντα σὺν τῷ Πατρί, ζωὴν φέροντα καὶ φῶς ἀληθινόν, τὸν αὐτὸν ἔδειξεν ἡμῖν· ὢ θαύματος ἐκστατικοῦ, καὶ πράγματος σοφιστικοῦ· ὅτι πλήρης ὢν τῆς ἀγάπης, πλήρης γέγονε καὶ τῆς **Θεολογίας**· δόξῃ καὶ τιμῇ, καὶ πίστει, θέμεθλος ὑ-

πάρχων, τῆς ἀκραιφνοῦς ἡμῶν Πίστεως, δι' ἧς τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Εἰς τὸν Στίχον. Δόξα. Ἰωάννȣ Μοναχȣ̃. Ἦχος πλ. β'.

Ἀπόστολε Χριστοῦ, Εὐαγγελιστὰ Θεολόγε, τῶν Ἀποῤῥήτων Μύστης γενόμενος, τῆς σοφίας τὰ ἀπόῤῥητα, ἡμῖν ἐβρόντησας δόγματα, τὸ ἐν Ἀρχῇ ἦν τρανώσας τοῖς πιστοῖς, καὶ τὸ Οὐκ ἦν ἀποβαλὼν, τῶν αἱρετιζόντων ἀπεκρουσω τοὺς λόγους, ἐπιστήθιος φανεὶς καὶ φίλος ἠγαπημένος, ὡς Ἡσαΐας ὁ μεγαλοφωνότατος, καὶ Μωσῆς ὁ Θεόπτης· παῤῥησίαν ἔχων πρὸς Θεὸν, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος β'.

Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον, ῥῦσαι λαὸν ἀναπολόγητον· δέχεταί σε προσπίπτοντα ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος· ὃν ἱκέτευε Θεολόγε, καὶ ἐπίμονον νέφος Ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἦχος β'.

Τὰ μεγαλεῖά σου Παρθένε, τίς διηγήσεται; βρύεις γὰρ θαύματα, καὶ πηγάζεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς Θεολόγος καὶ φίλος Χριστοῦ.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Εὐαγγελιστὰ Ἰωάννη, Ἰσάγγελε Παρθένε θεοδίδακτε, Ὀρθοδόξως τῷ κόσμῳ, τὴν ἄχραντον πλευρὰν, τὸ αἷμα καὶ τὸ ὕδωρ βλύζουσαν ἐκήρυξας· ἐν ᾧ τὴν αἰώνιον ζωὴν πορίζόμεθα ταῖς ψυχαῖς ἡμῶν.

ΕΙΣ ΤΗΝ ΚΘ'. ΣΕΠΤΕΜΒΡΙΟΥ.

Τοῦ Ἁγίου μεγαλομάρτυρος Γοβδελαᾶ τοῦ Πολυάθλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ'.

Τὴν πατρικὴν κληρουχίαν ἀφαιρεθεὶς, τὴν θεϊκὴν ἀπείληφας Βασιλείαν, Μάρτυς ἀήττητε· διὸ καὶ πρὸς


τὸν Τύραννον σὸν Πατέρα, τοῖς αἵμασιν ἐπιῤῥεόμενος ἀνδρειοφρόνως οὕτως ἐβόας· Εἰ καὶ κλῆρον οὐκ ἔχω πλέον ἐν σοί, ἀλλ' ἔχω κλῆρον τὸν Οὐρανόν. Χριστὸς ἐστί μου Πατὴρ, καὶ σὲ ὡς ἀντίθεον ἀπαρνοῦμαι Πατέρα· ζωή μοι Χριστὸς, καὶ τὸν ἀπὸ σοῦ θάνατον οὐ φρίττω. Θεὸς γάρ μοι Χριστὸς, κἀγὼ χαίρων αὐτῷ, θῦμα τὴν ψυχήν μου προσφέρω· τρυφή μοι Χριστὸς, καὶ τῶν κολαστηρίων σου τῶν ἀμέτρων οὐκ αἰσθάνομαι· φῶς μοι Χριστὸς, καὶ οὐ σκοτίζομαι· ὁδός μοι αὐτὸς καὶ οὐ πλανῶμαι· σὺ δημίους ἔχεις κρεωλογοῦντάς με· ἀλλὰ Χριστός μοι πάρεστι μετ' Ἀγγέλων θεραπεύων με· ἡ σὴ δύναμις ἐν προστάγμασιν ἀσθενεῖ, κἀμοῦ δὲ ἡ ἀσθένεια ἐν ταῖς βασάνοις ἐνδυναμοῦται, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ παρέχοντος πιστοῖς τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος α'.

Τὸν πολύαθλον Μάρτυρα, καὶ ἀκμαῖον ἀδάμαντα, τὸν καρτερικὸν στρατιώτην, καὶ πανεύφημον ὁπλίτην, Γοβδελαᾶν ἐν ὕμνοις τιμήσωμεν· ἐκήρυξε γὰρ Χαλδαίοις τὸν Χριστὸν, αἰκίας δριμυτατας ἐνεγκὼν, νικητὴς τροπαιοφόρος, κατὰ τῆς πλάνης γενόμενος. Δόξα τῷ δυναμώσαντι αὐτόν· δόξα τῷ στεφανώσαντι· δόξα τῷ ἐν σοὶ Μάρτυσιν αὐτὸν συναριθμήσαντι.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῶν Περσῶν φρυάγματα κατεπατήθη, τῇ στεῤῥᾷ ἐνστάσει σου Γοβδελαᾶ καρτερικέ· καὶ γὰρ ἀνδρείως ὑπήνεγκας, τοῦ σοῦ Πατρὸς τὰ δεινὰ κολαστήρια.



ΟΚΤΩΒΡΙΟΣ.

ΕΙΣ ΤΗΝ Γ'. ΟΚΤΩΒΡΙΟΥ.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου·

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἀνδρέου Ἱεροσολυμίτου, οἱ δέ, Βυζαντίου. Ἦχος πλ. β'.

Δεῦτε συμφώνως οἱ πιστοὶ τὴν ἐτήσιον μνήμην, τῶν Ἱεραρχῶν εὐφημήσωμεν, Διονυσίου τε καὶ Κυπριανοῦ· ὁ μὲν γὰρ διαπτύσας τῶν Στοϊκῶν Φιλοσόφων, καὶ τῷ Σκεύει τῆς ἐκλογῆς μαθητευθείς, τῶν ἀποῤῥήτων μυστηρίων γνώστης ἐγένετο· ὁ δὲ διὰ τῆς Καλλίστου Παρθένου Ἰουστίνης, τὴν διάνοιαν φωτισθείς, τὴν τῶν δαιμόνων ἀπάτην ἐξέφυγε, καὶ τὰς μαγικὰς βίβλους ἐν πυρὶ ἀναλώσας, τοῦ Εὐαγγελίου κήρυξ γέγονε. Διὸ καὶ ἡμεῖς οἱ ἁμαρτωλοί, τὸν δοξάσαντα τούτους, δοξολογοῦντες Σωτῆρα βοήσωμεν· ὁ τοὺς σοὺς Ἀθλοφόρους στεφανώσας ἐν δόξῃ, Χριστὲ ὁ Θεός, ταῖς αὐτῶν ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος δ'.

Τῆς οὐρανίου γνώσεως, ἀθεώρητον βυθόν σε καλέσωμεν, λαμπρότατε Μάρτυς τοῦ Χριστοῦ· ὡς γὰρ ὁπλίτην, καὶ στεῤῥὸν ὑπέρμαχον τῆς Ἐκκλησίας, ἀνυμνοῦμέν σε σοφέ· πυρὶ γὰρ ἐλλαμφθεὶς τῷ ἁγνοτάτῳ, ἠξιώθης ἅμα ταῖς ἄνω στρατολογίαις, τὸ φωτεινὸν περιβόλαιον ἐνδύσασθαι Χριστόν, καὶ λαμπρυνθεὶς τῇ αἴγλῃ τοῦ Πνεύματος, τὸν νοῦν Διονύσιε· διό σε, τὴν παγκόσμιον μνήμην, πανηγυρίζοντες, πιστῶς δοξάζομεν, τὸν δοξάσαντά σε Κύριον.

Ἀπολυτίκιον. Ἦχος δ'.

Χρηστότητα ἐκδιδαχθείς, καὶ νήφων ἐν πᾶσιν, ἀγαθὴν συνείδησιν, ἱεροπρεπῶς ἐνδυσάμενος, ἤντλησας ἐκ

τοῦ Σκεύους τῆς ἐκλογῆς τὰ ἀπόῤῥητα, καὶ τὴν πίστιν τηρήσας, τὸν ἴσον δρόμον τετέλεκας, Ἱερομάρτυς Διονύσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Τὰς οὐρανίους διαβὰς πύλας ἐν Πνεύματι, μαθητευθεὶς τῷ ὑπὲρ τρεῖς Οὐρανοὺς φθάσαντι, Ἀποστόλῳ Διονύσιε τῶν ἀῤῥήτων, ἐπλουτίσθης πᾶσαν γνῶσιν καὶ κατηύγασας, τοὺς ἐν σκότει ἀγνωσίας πρὶν καθεύδοντας· διὸ κράζομεν· Χαίροις Πάτερ παγκόσμιε.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος πλ. δ'.

Ἐν Ἱερεῦσι καὶ Μάρτυσι, διαπρέψας Ὅσιε, πιστὸς ἀνεδείχθης ποιμήν, καὶ Χριστοῦ πιὼν τὸ ποτήριον· διὸ ἐν ἑκατέροις εὐαρεστήσας αὐτῷ τῷ Χριστῷ, πρέσβευε ὑπὲρ πάντων ἡμῶν, σὺν τοῖς ἄνω Λειτουργοῖς, ἐν φωτὶ νῦν αὐλιζόμενος.

ΕΙΣ ΤΗΝ Ϛ'. ΟΚΤΩΒΡΙΟΥ.

Τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Θωμᾶ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Τοῦ Στουδίτου.

Ὡς ὑπηρέτης τοῦ Λόγου, καὶ τῆς ἀῤῥήτου σαρκώσεως αὐτοῦ, βυθὸν σοφίας ἐξήντλησας, Θωμᾶ Ἀπόστολε· τῷ γὰρ καλάμῳ τοῦ Σταυροῦ, ἀνιχνεύων ἐκ τοῦ βυθοῦ τῆς ἀπάτης, ψυχὰς ἐζώγρησας· ὅθεν τῇ σαγήνῃ τῶν σωνδογμάτων, πᾶσαν ἐφώτισας τὴν Οἰκουμένην· καὶ τῷ φωτὶ τῆς γνώσεως, τὰς τῶν Ἰνδῶν ἐζοφωμένας ψυχὰς κατελάμπρυνας· διὸ τῆς δόξης τηλαυγῶς Χριστοῦ κατατρυφῶν. αὐτὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἀνατολίου Ἦχος πλ. β'.

Τὰ θεῖα ἐποπτεύων, Χριστοῦ τῆς σοφίας νοητὸς ἀναδέδειξαι κρατήρ, μυστικῶς Θωμᾶ Ἀπόστολε, ἐν ᾧ τῶν πιστῶν αἱ ψυχαὶ εὐφραίνονται, τῇ γὰρ θείᾳ σαγήνῃ τοῦ Πνεύματος, λαοὺς ἀνείλκυσας ἐν βυθοῦ τῆς ἀπα-

γνώσεως· ὅθεν ἐκ Σιὼν ὡς ποταμὸς τῆς χάριτος ἐξῆλθες, τὰ σὰ ἐκβλύζων ἔνθεα δόγματα, εἰς τὴν σύμπασαν κτίσιν· διὸ τοῦ Χριστοῦ τὰ Πάθη ἐκμιμούμενος, τὴν πλευρὰν ἐλογχεύθης, ἐν τῷ γνόφῳ εἰσδύσας τῆς ἀφθαρσίας. Αὐτὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος γ΄.

Ἀπόστολε ἅγιε Θωμᾶ, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν·

Κοντάκιον. Ἐπεφάνης σήμερον.

Ἦχος δ΄.

Ὁ Σοφίας χάριτος πεπληρωμένος, ὡς Χριστοῦ Ἀπόστολος, καὶ ὑπηρέτης ἀληθῶς ἐν μετανοίᾳ ἐβόησε· σύ μου ὑπάρχεις Θεός τε καὶ Κύριος.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος δ΄.

Τὸν τῆς ἀλείας βυθὸν καταλιπὼν, τῷ τοῦ Σταυροῦ καλάμῳ πίστει προσέδραμες, καὶ ἐν αὐτῷ πάντας ἐζώγρησας, Θωμᾶ Ἀπόστολε· διὸ καὶ τὴν ἄχραντον πλευρὰν τοῦ Λόγου, τῇ χειρὶ ψηλαφήσας, τῶν πεπαρμένων ἥλων τὰς ὠτειλὰς τῷ δακτύλῳ κατιδεῖν κατηξίωσαι. Χριστὸν τὸν Θεὸν ἐκτενῶς πρέσβευε ἀεὶ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ Η΄. ΟΚΤΩΒΡΙΟΥ.

Τῆς Ὁσίας Μητρὸς ἡμῶν Πελαγίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος δ΄. Ἰωάννου Μοναχοῦ.

Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, καθὼς ὁ Ἀπόστολος διδάσκει· ἐν προσευχαῖς γὰρ καὶ δάκρυσι Πελαγία, τῶν πολλῶν πταισμάτων τὸ πέλαγος ἐξήρανας, καὶ τὸ τέλος εὐπρόσδεκτον τῷ Κυρίῳ, διὰ τῆς μετανοίας προσήγαγες, καὶ ἐν τούτῳ πρεσβεύεις, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Μελετίου Ἱερομονάχου Βλαστοῦ. Ἦχος πλ. δ'.

Μετὰ τὸ ἀρνήσασθαι σαρκὸς τὴν εὐπάθειαν, ἀνεδείχθης καθαρὸν δοχεῖον, τοῦ δι' εὐσπλαγχνίαν τοῖς ἀνθρώποις συγκαταβάντος φιλανθρώπου Λόγου· ὅθεν καὶ πρὸς ζωὴν τὴν ἀγήρω οἰκεῖν σε ἠξίωσεν ὡς ὑπεράγαθος· τὰ οὐράνια πάντα συγχαίρουσι, τὴν πρίν σε ἀσέμνως βιώσασαν, νῦν καθορῶντα Χριστοῦ ἄσπιλον κειμήλιον, τοῦ ἐν Οὐρανοῖς ἀπὸ τῆς γῆς σε μεταθέντος, πάντας πιστοὺς φρουροῦντος τῇ μνήμῃ σου.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν Σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Πελαγία τὸ Πνεῦμά σου.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὸ σῶμα τὸ σὸν, νηστείαις κατατήξασα, ἀγρύπνοις εὐχαῖς, τὸν Κτίστην καθικέτευσας, τοῦ λαβεῖν σῶν πράξεων, τὴν τελείαν συγχώρησιν, καὶ ἐδέξω Ὁσία σαφῶς, ὁδὸν μετανοίας ὑποδείξασα.

ΤΗ ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΗΝ ΙΑ'. ΟΚΤΩΒΡΙΟΥ.

Τῆς Ἁγίας, καὶ Οἰκουμενικῆς ἑβδόμης Συνόδου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Τὰς μυστικὰς σήμερον τοῦ Πνεύματος σάλπιγγας, τοὺς Θεοφόρους Πατέρας ἀνευφημήσωμεν, τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς Ἐκκλησίας, μέλος ἐναρμόνιον Θεολογίας· Τριάδα μίαν ἀπαράλλακτον, Οὐσίαν τε καὶ Θεότητα· τοὺς καθαιρέτας Ἀρείου, καὶ Ὀρθοδόξων προμάχους, τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος δ'.

Τὴν ἐτήσιον μνήμην σήμερον, τῶν θεοφόρων Πατέρων, τῶν ἐκ πάσης τῆς Οἰκουμένης συναθροισθέντων, ἐν τῇ λαμπρᾷ Πόλει Νικαέων, τῶν Ὀρθοδόξων τὰ συστήματα, εὐσεβοῦντες πιστῶς ἑορτάσωμεν· οὗτοι γὰρ τοῦ δειλοῦ Ἀρείου τὸ ἄθεον δόγμα, εὐσεβοφρόνως καθεῖλον, καὶ τῆς Καθολικῆς Ἐκκλησίας, συνοδικῶς τοῦτον ἐξωστράκισαν· καὶ τρανῶς τὸν Υἱὸν τοῦ Θεοῦ, ὁμοούσιον καὶ συναΐδιον, πρὸ τῶν αἰώνων ὄντα, τοῖς πᾶσιν ἐδίδαξαν ὁμολογεῖν, ἐν τῷ τῆς πίστεως συμβόλῳ, ἀκριβῶς καὶ εὐσεβῶς τοῦτο ἐκθέμενοι· ὅθεν καὶ ἡμεῖς τοῖς θείοις αὐτῶν δόγμασιν ἑπόμενοι, βεβαίως πιστεύοντες, λατρεύομεν σὺν Πατρὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ πανάγιον, ἐν μιᾷ Θεότητι, Τριάδα ὁμοούσιον.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε δόξα σοι.

Κοντάκιον. Χειρόγραφον Εἰκόνα. Ἦχος β'.

Ὁ ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς ἀῤῥήτως, ἐκ γυναικὸς ἐτέχθης διπλοῦς τῇ φύσει· ὃν εἰδότες οὐκ ἀρνούμεθα τῆς μορφῆς τὸ ἐκτύπωμα· αὐτὸ δὲ εὐσεβῶς ἀνιστοροῦντες, σέβομεν πιστῶς· καὶ διὰ τοῦτο τὴν ἀληθινὴν Πίστιν κρατοῦσα ἡ Ἐκκλησίας, ἀσπάζεται τὴν Εἰκόνα τῆς Χριστοῦ ἐνανθρωπήσεως.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Τῶν Ἁγίων Πατέρων ὁ χορὸς ἐκ τῶν τῆς Οἰκουμένης περάτων συνδραμὼν, Πατρὸς καὶ υἱοῦ, καὶ Πνεύματος Ἁγίου, μίαν οὐσίαν ἐδογμάτισε καὶ φύσιν· καὶ τὸ Μυστήριον τῆς Θεολογίας, τρανῶς παρέδωκε τῇ Ἐκκλησίᾳ· οὓς εὐφημοῦντες ἐν πίστει, μακαρίσωμεν λέγοντες· ὢ θεία παρεμβολὴ, Θεηγόροι ὁπλῖται, παρατάξεως Κυρίου· ἀστέρες πολύφωτοι τοῦ νοητοῦ στερεώματος· τῆς

μυστικῆς Σιὼν, οἱ ἀκαθαίρετοι πύργοι· τὰ μυρίπνοα ἄνθη τοῦ Παραδείσου· τὰ πάγχρυσα στόματα τοῦ Λόγου· Νικαίας τὸ καύχημα· Οἰκουμένης ἀγλάϊσμα· ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΗΝ ΙΗ΄. ΟΚΤΩΒΡΙΟΥ.

Τοῦ Ἁγίου ἐνδόξου, καὶ πανευφήμου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Λουκᾶ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄. Ἀνατολίου.

Ἀπόστολε Χριστȣ͂, καὶ τῶν Θείων δογμάτων συγγραφεῦ, καὶ τῆς Ἐκκλησίας ἑδραίωμα· σὺ ὡς ἀληθῶς, τὰς ἐν ζόφῳ τῆς ἀγνωσίας, καρδίας εἰσδύσας ἐν τῷ βυθῷ τῆς ἀπωλείας, ἰάσας θεηγορίαις, διέσωσας ὡς ἐκ σάλου τρικυμίας· ὀπαδὸς γενόμενος τοῦ σκεύους τῆς ἐκλογῆς Παύλου, ἀλλὰ καὶ μιμητής· ὅθεν αἰτȣμένου σε, Λȣκᾶ ἀξιάγαστε, τῶν Ἀντιοχέων τὸ ἐγκαλλώπισμα· πρέσβευε τῷ Σωτῆρι καὶ Θεῷ, ὑπὲρ τῶν πίστει ἐκτελȣντων τὴν ἀεισέβαστον μνήμην σȣ.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β΄.

Πάνσοφε ἁλιεῦ, Ἅγιε Μαθητὰ, ἐργάτα τοῦ Σωτῆρος, καὶ θρίαμβε τῶν αὐτοῦ παθημάτων· ὁ τὴν κτίσιν τῇ πίστει διαδραμὼν, καὶ τῆς πλάνης τὰ ἔθνη συναγαγὼν, καὶ Θεῷ προσενέγκας, ὡς θυμίαμα καλὸν, εἰς Οὐρανοὺς εὐοδωθείς· διὸ παριστάμενος τῷ Κριτῇ, πρέσβευε ῥυσθῆναι ἡμᾶς τῶν ἀνομιῶν ἡμῶν, καὶ ἐν ἡμέρᾳ Κρίσεως, λυτρωθῆναι τῆς κολάσεως.

Ἀπολυτίκιον. Ἦχος γ΄.

Ἀπόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Λουκᾶ, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον. Ἐπεφάνης σήμερον. Ἦχος δ΄.

Μαθητὴς γενόμενος τοῦ Θείου Λόγου, σὺν τῷ Παύλῳ ἅπασαν, ἐφωταγώγησας τὴν γῆν, καὶ τὴν ἀχλὺν ἀπεδίωξας, τὸ Θεῖον γράψας Χριστοῦ Εὐαγγέλιον.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Δαυϊτικῶς συνελθόντες οἱ πιστοί, ἐν ᾄσμασι τῷ μυστικῷ ῥήτορι τοῦ Λόγου, Λουκᾷ ἐκβοήσωμεν· ἡ γλῶσσα σου κάλαμος γραμματέως ἐδείχθη, Χριστοῦ τοῦ ὀξυγράφου, ὡραΐζων τὰς ὄψεις, πρὸς τὴν γνῶσιν τῶν Ἐθνῶν, τῆς θείας ἐπιγνώσεως, ἐν ᾗ ἀνεκήρυξας τὸ Εὐαγγέλιον, καὶ τῶν Συναποστόλων σου τὰς Πράξεις συνεγράψω, διὸ παριστάμενος, τῇ Τριάδι καὶ Θεῷ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΗΝ ΚΒ'. ΟΚΤΩΒΡΙΟΥ.

Τοῦ Ἁγίου καὶ Ἰσαποστόλου Ἀβερκίου, Ἐπισκόπου Ἱεραπόλεως. Καὶ τῶν ἁγίων ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος γ'. Ἰωάννου Μοναχοῦ.

Ἀρχιερεῦ Ὅσιε, παμμακάριστε Πάτερ, θαυματουργὲ θεράπον Χριστοῦ Ἀβέρκιε, προφητικῷ ἐκλάμψας βίῳ, καὶ ἀποστολικῶν ἀξιωθεὶς χαρισμάτων, τῷ Σωτῆρι λειτουργῶν, σὺν Ἀγγέλοις απαύστως, πρέσβευε ῥυσθῆναι ἀπὸ πάσης ἀπειλῆς τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν.
Ἦχος πλ. δ'.

Δεῦτε πᾶσα Κτίσις, ἐν Κυμβάλοις ψαλμικοῖς, καὶ ἐν φωναῖς ἀλαλαγμοῦ, αἶνον Θεῷ ἀναπέμψωμεν, τῷ πρὸ τῆς κοινῆς Ἀναστάσεως τὴν ἀνάστασιν ἡμῖν ἐμφανίσαντι· καὶ τοὺς πρὸ τριακοσίων δύο καὶ ἑβδομήκοντα τετελευτηκότας χρόνων, Ἁγίους Παῖδας ἑπτά, δι' ἱκεσίας εὐσεβοῦς Βασιλέως ἀναστήσαντι ἐκ χοὸς, εἰς πτῶσιν ἀπίστοις ἐχθροῖς, καὶ αἰσχύνην αἰώνιον, δόξαν δὲ καὶ ἔπαινον τοῖς φοβουμένοις αὐτόν· οἶδε γὰρ ὁ Κύριος δοξάζειν τοὺς αὐτὸν ἀντιδοξάζοντας· θέλημα γὰρ ποιεῖ τῶν φοβουμένων αὐτὸν ἐν ἀληθείᾳ, ὁ μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Ἀπολυτίκιον. Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πρᾳότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια, διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλὰ, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Ἀβέρκιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον τοῦ Ἁγίου. Ὡς ἀπαρχὰς τῆς φύσεως. Ἦχος πλ. δ'.

Ὡς Ἱερέα μέγιστον, καὶ Ἀποστόλων σύσκηνον, ἡ Ἐκκλησία γεραίρει σε ἅπασα, ἣ τῶν πιστῶν Ἀβέρκιε· ἣν ταῖς σαῖς ἱκεσίαις, περιφύλαττε μάκαρ, ἀκαταγώνιστον, καὶ ἀκλυδώνιστον, ἐξ αἱρέσεως πάσης ματαιοφρονος, πολυθαύμαστε.

ΕΙΣ ΤΗΝ ΚΓ'. ΟΚΤΩΒΡΙΟΥ.

Τοῦ Ἁγίου Ἱερομάρτυρος, καὶ Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Αἵματι τοῦ Μαρτυρίου, τὴν ἱερωσύνην κατεποίκιλας, Ἱερομάρτυς Ἀπόστολε· τῷ γὰρ πτερυγίῳ τοῦ Ἱεροῦ παρεστὼς, Θεὸν Λόγον ἐκήρυξας δημιουργὸν ὄντα τοῦ παντός· ὅθεν ὑπὸ Ἰουδαίων ῥιφεὶς, οὐρανίων θαλάμων ἠξίωσαι. Ἀδελφόθεε Ἰάκωβε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Τοῦ Ἀρχιποίμενος Χριστοῦ, ἀδελφὸς χρηματίσας, καὶ διάδοχος, καὶ ἐν Ἀποστόλοις ἐπίσημος, τὸν ὑπὲρ αὐτοῦ θάνατον ἠγάπησας· καὶ τὸ Μαρτύριον οὐκ ἐπαισχύνθης, Ἰάκωβε ἔνδοξε. Αὐτὸν ἱκέτευε ἀδιαλείπτως, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ὡς τοῦ Κυρίου Μαθητὴς, ἀνεδέξω δίκαιε τὸ Εὐαγγέλιον· ὡς Μάρτυς ἔχεις τὸ ἀπαράτρεπτον· τὴν παρ-

ρησίαν ὡς Ἀδελφόθεος· τὸ πρεσβεύειν ὡς Ἱεράρχης· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος δ'.

Ὁ τοῦ Πατρὸς μονογενὴς Θεὸς Λόγος, ἐπιδημήσας πρὸς ἡμᾶς ἐπ' ἐσχάτων, τῶν ἡμερῶν Ἰάκωβε θεσπέσιε, πρῶτόν σε ἀνέδειξε τῶν Ἱεροσολύμων, Ποιμένα καὶ Διδάσκαλον, καὶ πιστὸν οἰκονόμον, τῶν Μυστηρίων τῶν πνευματικῶν· ὅθεν σε πάντες τιμῶμεν Ἰάκωβε.

Εἰς τοὺς Αἴνους. Δόξα. Βυζαντίου. Ἦχος ά.

Ἐν τῇ πυρίνῃ αἴγλῃ τοῦ θείου Πνεύματος φωτισθεὶς, τῆς εὐσεβείας ὤφθης θεῖος ζηλωτὴς, Ἀδελφόθεε Ἰάκωβε· ὅθεν καὶ στολήν σε νομικῆς Ἱερωσύνης, ὡς Ἀαρὼν τὸ πάλαι τιμιωτέραν ἐνέδυσεν, ὁ δι' οἶκτον εἰς ἀδελφότητα δεξάμενος· αὐτὸν ἱκέτευε, Ἀποστόλων ἔνδοξε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ ΚΣΤ'. ΟΚΤΩΒΡΙΟΥ.

Τοῦ Ἁγίου μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλύτου. καὶ ἡ ἀνάμνησις τοῦ γεγονότος Σεισμοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Βυζαντίου.

Σήμερον συγκαλεῖται ἡμᾶς, τοῦ Ἀθλοφόρου ἡ παγκόσμιος πανήγυρις. Δεῦτε οὖν φιλέορτοι, φαιδρῶς ἑορτάσωμεν τὴν μνήμην αὐτοῦ λέγοντες· χαίροις, ὁ τὸν χιτῶνα τῆς ἀσεβείας διαῤῥήξας διὰ τῆς Πίστεως, τὴν δὲ ἀνδρείαν τοῦ Πνεύματος, σεαυτῷ περιθέμενος· χαίροις, ὁ καταργήσας τὰς ἐπινοίας τῶν παρανόμων, τῇ ἰσχύϊ τῇ δοθείσῃ σοι παρὰ τοῦ μόνου Θεοῦ· χαίροις, ὁ λογχευθεὶς τῶν μελῶν, τὸ μακάριον πάθος πνευματικῶς ἡμῖν ἀναζωγραφήσας τοῦ Χριστοῦ· ὃν καθικέτευε, Ἀθλητῶν ἐγκαλλώπισμα Δημήτριε, λυτρωθῆναι ἡμᾶς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἦχος πλ. β'.

Παναγία Δέσποινα, τοῦ Κόσμου βοήθεια καὶ ἐλπὶς Χριστιανῶν, σὲ νῦν ἐκδυσωποῦμεν, καὶ σὲ παρακαλοῦμεν ἀγαθή, ὑπὲρ ἡμῶν ἡμαρτηκότων καὶ ἀπεγνωσμένων, τὸν Υἱόν σου καὶ Κύριον, ἵλεων ποιῆσαι Θεοτόκε· ἔχεις γὰρ τὸ δύνασθαι, τῇ μητρικῇ σου πρὸς αὐτὸν χρωμένη παῤῥησίᾳ· πρόφθασον ἄχραντε, πρόφθασον μεσίτευσον, καὶ ῥῦσαι τὸν λαόν σου τῆς ἐνεστώσης ἀπειλῆς διὰ σπλάγχνα ἐλέους, μὴ παρίδῃς τοὺς ὑμνοῦντάς σε.

Εἰς τὸν Στίχον. Δόξα. Ἀνατολίου. Ἦχος πλ. δ'.

Ἔχει μὲν ἡ θειοτάτη σου ψυχὴ καὶ ἄμωμος ἀοίδιμε Δημήτριε, τὴν οὐράνιον Ἱερουσαλὴμ κατοικητήριον, ἧς τὰ τείχη, ἐν ταῖς ἀχράντοις χερσὶ, τοῦ ἀοράτου Θεοῦ ἐζωγράφηνται· ἔχει δὲ καὶ τὸ πανέντιμον, καὶ ἀθλητικώτατόν σου σῶμα, τὸν περίκλυτον τοῦτον Ναὸν ἐπὶ γῆς, ταμεῖον ἄσυλον θαυμάτων, νοσημάτων ἀλεξητήριον· ἔνθα προστρέχοντες, τὰς ἰάσεις ἀρυόμεθα· φρούρησον πανεύφημε, τὴν σὲ μεγαλύνουσαν πόλιν, ἀπὸ τῶν ἐναντίων προσβολῶν, παῤῥησίαν ὡς ἔχων πρὸς Χριστὸν τὸν σὲ δοξάσαντα.

Ἀπολυτίκιον. Ἦχος γ'.

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ Οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαῤῥύνας τὸν Νέστορα· οὕτως Ἅγιε μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον τοῦ Σεισμοῦ. Ἦχος πλ. δ'.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ῥῦσαι ἡμᾶς τῆς φοβερᾶς τοῦ Σεισμοῦ ἀπειλῆς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ κατάπεμψον ἡμῖν, πλούσια τὰ ἐλέη σου, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Κοντάκιον Ἰδιόμελον. Ἦχος β'.

Τοῖς τῶν αἱμάτων του ῥείθροις Δημήτριε, τὴν Ἐκκλησίαν Θεὸς ἐπορφύρωσεν, ὁ δούς σοι τὸ κράτος ἀνί-

τητον, καὶ περιέπων τὴν πόλιν σου ἄτρωτον· αὐτῆς γὰρ ὑπάρχεις τὸ στήριγμα.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἀνδρέου Ἱεροσολυμίτου.
Ἦχος δ'.

Τὸν λόγχαις κληρωσάμενον, τῆς σωτηρίου Πλευρᾶς τὴν χάριν, τῆς νυγείσης τῇ λόγχῃ, ἐξ ἧς ἡμῖν πηγάζει ὁ Σωτὴρ ζωῆς καὶ ἀφθαρσίας νάματα, Δημήτριον τιμήσωμεν τὸν σοφώτατον ἐν διδαχαῖς, καὶ Στεφανίτην ἐν Μάρτυσι· καὶ δι' αἵματος τελέσαντα, τὸν τῆς ἀθλήσεως δρόμον, καὶ θαύμασιν ἐκλάμψαντα πάσῃ τῇ Οἰκουμένῃ· τὸν ζηλωτὴν τοῦ Δεσπότου, καὶ συμπαθῆ φιλόπτωχον· τὸν ἐν πολλοῖς καὶ πολλάκις κινδύνοις χαλεποῖς, τοῖς Θεσσαλονικεῦσι προϊστάμενον· οὗ καὶ τὴν ἐτήσιον μνήμην γεραίροντες, δοξάζομεν Χριστὸν τὸν Θεὸν, τὸν δι' ἐνεργοῦντααὐτοῦ πᾶσι τὰ ἰάματα.

ΝΟΕΜΒΡΙΟΣ.

ΕΙΣ ΤΗΝ Α'. ΝΟΕΜΒΡΙΟΥ.

Τῶν Ἁγίων Ἀναργύρων Κοσμᾶ, καὶ Δαμιανοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Ἀνατολίου.

Ἀτελεύτητος ὑπάρχει τῶν Ἁγίων ἡ χάρις, ἣν παρὰ Χριστοῦ ἐκομίσαντο· ὅθεν αὐτῶν καὶ τὰ λείψανα ἐκ θείας δυνάμεως, διηνεκῶς ἐνεργοῦσι τοῖς θαύμασιν· ὧν καὶ τὰ ὀνόματα, ἐκ πίστεως ἐπιβοώμενα, τῶν ἀνιάτων ἀλγηδόνων ἀπαλλάττουσι· δι' ὧν Κύριε καὶ ἡμᾶς, τῶν τῆς ψυχῆς καὶ τοῦ σώματος παθῶν ἐλευθέρωσον ὡς φιλάνθρωπος.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Πάντοτε ἔχοντες Χριστὸν, ἐνεργοῦντα ἐν ὑμῖν ἅγιοι Ἀνάργυροι, θαυματουργεῖτε ἐν Κόσμῳ, ἀσθενοῦντας

θεραπεύετε· καὶ γὰρ τὸ ἰατρεῖον ὑμῶν πηγὴ ὑπάρχει ἀνεξάντλητος· ἀντλουμένη δὲ μᾶλλον, ὑπερεκβλύζει, καὶ χεομένη περισσεύεται, καθ' ἑκάστην κενουμένη, καὶ πληθυνομένη· πᾶσι χορηγοῦσα, καὶ μὴ λειπομένη· καὶ οἱ ἀρυόμενοι κορέννυνται ἰάματα, καὶ αὕτη διαμένει ἀδαπάνητος. Τί οὖν ὑμᾶς καλέσωμεν; θεράποντας ἰατρούς, ψυχῶν τε καὶ σωμάτων, ἰατῆρας παθῶν ἀνιάτων, δωρεὰν ἰωμένους ἅπαντας, εἰληφότας χαρίσματα, παρὰ τοῦ Σωτῆρος Χριστοῦ, τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ἅγιοι Ἀνάργυροι καὶ Θαυματουργοί, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν· δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.

Κοντάκιον. Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Οἱ τὴν χάριν λαβόντες τῶν ἰαμάτων, ἐφαπλοῦσθε τὴν ῥῶσιν τοῖς ἐν ἀνάγκαις, ἰατροὶ θαυματουργοὶ ἔνδοξοι· ἀλλὰ τῇ ὑμῶν ἐπισκέψει, καὶ τῶν πολεμίων τὰ θράση καταβάλλετε, τὸν Κόσμον ἰώμενοι ἐν τοῖς θαύμασιν.

Εἰς τοὺς Αἴνους. Δόξα. Θεοφάνους. Ἦχος δ'.

Πηγὴν ἰαμάτων ἔχοντες Ἅγιοι Ἀνάργυροι, τὰς ἰάσεις παρέχετε, πᾶσι τοῖς δεομένοις, ὡς μεγίστων δωρεῶν ἀξιωθέντες, παρὰ τῆς ἀεννάου πηγῆς τοῦ Σωτῆρος Χριστοῦ· φησὶ γὰρ πρὸς ὑμᾶς ὁ Κύριος, ὡς ὁμοζήλους τῶν Ἀποστόλων· ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε αὐτὰ ἐκβάλλειν, καὶ θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. Διὸ τοῖς προστάγμασιν αὐτοῦ, καλῶς πολιτευσάμενοι, δωρεὰν ἐλάβετε, δωρεὰν παρέχετε, ἰατρεύοντες τὰ πάθη, τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.



ΕΙΣ ΤΗΝ Η'. ΝΟΕΜΒΡΙΟΥ.

Ἡ Σύναξις τοῦ Ἀρχιστρατήγου Μιχαὴλ, καὶ τῶν λοιπῶν ἀσωμάτων Δυνάμεων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Βυζαντίου.

Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Ἀγγέλων Ταξιαρχίαι· ὁ Πρωτοστάτης γὰρ ἡμῶν, καὶ ἡμέτερος Προστάτης, ὁ μέγας Ἀρχιστράτηγος, τὴν σήμερον ἡμέραν ἐν τῷ σεπτῷ αὐτοῦ τεμένει, παραδόξως ἐποπτανόμενος ἁγιάζει· ὅθεν καταχρέως, ἀνυμνοῦντες αὐτὸν, βοήσωμεν· σκέπασον ἡμᾶς, ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, μέγιστε Μιχαὴλ Ἀρχάγγελε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Παρθένων χοροστασίαι· ἡ προστασία γὰρ ἡμῶν, καὶ μεσίτρια καὶ σκέπη, καὶ μέγα καταφύγιον, τὴν σήμερον ἡμέραν, ἐν τῇ σεπτῇ αὐτῆς καὶ θείᾳ προμηθείᾳ, τοὺς θλιβομένους παραμυθεῖται· ὅθεν καταχρέως, ἀνυμνοῦντες αὐτὴν βοήσωμεν· σκέπασον ἡμᾶς, ἐν τῇ θείᾳ προστασίᾳ σου ἄχραντε Θεοτόκε Δέσποινα.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἰωάννου Μοναχοῦ.

Ἦχος πλ. δ'.

Ὡς ταξιάρχης καὶ πρόμαχος, καὶ τῶν Ἀγγέλων ἀρχηγὸς Ἀρχιστράτηγε, πάσης ἀνάγκης, καὶ θλίψεως, νόσων καὶ δεινῶν ἁμαρτημάτων ἐλευθέρωσον, τοὺς εἰλικρινῶς ἀνυμνοῦντας, καὶ αἰτουμένους σε ἔνδοξε· ἐναργῶς ὡς ἄϋλος τὸν ἄϋλον καθορῶν, καὶ τῷ ἀπροσίτῳ φωτὶ τῆς τοῦ Δεσπότου δόξης καταλαμπόμενος· αὐτὸς γὰρ φιλανθρώπως σάρκα δι' ἡμᾶς ἐκ Παρθένου προσείληφε, σῶσαι βουληθεὶς τὸ ἀνθρώπινον.

Ἀπολυτίκιον. Ἦχος δ'.

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγε, δυσωποῦμέν σε ἀεὶ ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς σαῖς δεήσεσι τειχί-

σης ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου σου δόξης, φρουρῶν ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς Ταξιάρχης τῶν ἄνω Δυνάμεων.

Κοντάκιον. Ἦχος β'.

Ἀρχιστράτηγοι Θεοῦ, λειτουργοὶ Θείας δόξης, τῶν ἀνθρώπων ὁδηγοί, καὶ ἀρχηγοὶ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρεσβεύσατε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. α'.

Ὅπου ἐπισκιάσει ἡ χάρις σου Ἀρχάγγελε, ἐκεῖθεν τοῦ Διαβόλου διώκεται ἡ δύναμις· οὐ φέρει γὰρ τῷ φωτί σου προσμένειν, ὁ πεσὼν Ἑωσφόρος· διὸ αἰτοῦμέν σε, τὰ πυρφόρα αὐτοῦ βέλη, τὰ καθ' ἡμῶν κινούμενα, ἀπόσβεσον· τῇ μεσιτείᾳ σου λυτρούμενος ἡμᾶς, ἐκ τῶν σκανδάλων αὐτοῦ, ἀξιύμνητε Μιχαὴλ Ἀρχάγγελε.

ΕΙΣ ΤΗΝ ΙΒ'. ΝΟΕΜΒΡΙΟΥ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ἐλεήμονος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'. Ἀνατολίου.

Ἡ τοῦ ἐλέους πηγή, τοῖς ἐνδεέσι πλημμυρεῖ, εὐσυμπαθήτους οἰκτιρμούς, Ἰωάννης ὁ Χριστοῦ μιμητής, ὁ μέγας ποιμὴν τῶν Ἀλεξανδρέων καὶ φωστήρ· δεῦτε χαρεσθῶμεν οἱ πτωχοὶ κατὰ πνεῦμα, μιμούμενοι αὐτοῦ τὴν ἱλαρότητα· φιλευσπλάγχνῳ γὰρ στοργῇ, Χριστὸν ξενίσας διὰ τῶν πενήτων, ὡς πάλαι Ἀβραάμ, τοῦ μακαρισμοῦ ἠξιώθη, καὶ παῤῥησίᾳ πρεσβεύει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς Οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φά-

λαγγας· τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας· παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ἐν τῇ ὑπομονῇ σου ἐκτήσω τὸν μισθόν σου Πάτερ Ὅσιε, ταῖς προσευχαῖς ἀδιαλείπτως ἐγκαρτερήσας, τοὺς πτωχοὺς ἀγαπήσας, καὶ τούτοις ἐπαρκέσας· ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Ἰωάννη Ἐλεῆμον μακάριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὸν πλοῦτον τὸν σόν, ἐσκόρπισας τοῖς πένησι καὶ τῶν Οὐρανῶν τὸν πλοῦτον νῦν ἀπείληφας, Ἰωάννη πάνσοφε· διὰ τοῦτο πάντες σε γεραίρομεν, ἐκτελοῦντες τὴν μνήμην σου, τῆς Ἐλεημοσύνης ἐπώνυμε.

ΕΙΣ ΤΗΝ ΙΓ'. ΝΟΕΜΒΡΙΟΥ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Ὅσιε τρισμάκαρ, ἁγιώτατε Πάτερ, ὁ ποιμὴν ὁ καλός, καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητής, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· αὐτὸς καὶ νῦν πανεύφημε, Ἰωάννη Χρυσόστομε, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν στίχον. Δόξα. Ἦχος πλ. β'.

Σάλπιγξ χρυσόφωνος, ἀνεδείχθης Χρυσοῤῥῆμον Χρυσόστομε, χρυσουργῶν τὰς καρδίας τῶν πιστῶν, τοῖς χρυσεπόνοις σου διδάγμασι. Προφητικῶς γὰρ ἐξῆλθεν ὁ φθόγγος τῶν δογμάτων σου, Ὅσιε Πάτερ, καὶ Κόσμου παντὸς τὰ πέρατα ἐφώτισας.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις τὴν Οἰκουμένην ἐφώτισεν· ἀφιλαργυρίας τῷ Κό-

μῷ θασαυροὺς ἐναπέθετο· τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν· ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Τὴν ὑπὲρ ἡμῶν πληρώσας.

Ἦχος πλ. β'.

Ἐκ τῶν Οὐρανῶν ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ σῶν χειλέων πάντας διδάσκεις, προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεόν, Ἰωάννη Χρυσόστομε, παμμακάριστε Ὅσιε, ἐπαξίως εὐφημοῦμέν σε· ὑπάρχεις γὰρ καθηγητής, ὡς τὰ θεῖα σαφῶν.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἀνατολίου. Ἦχος πλ. δ'.

Χρυσέοις ἔπεσι, καὶ θεοφθόγγοις διδάγμασι, κατακοσμήσας τὴν τοῦ Θεοῦ Ἐκκλησίαν, πλοῦτον πνευματικὸν ἐθησαύρισας ἐν αὐτῇ, τὰ σὰ θεοπαράδοτα λόγια· διὸ στέφανον ἐξ ἀκηράτων ἀνθέων, πλεξαμένη τοῖς ᾄσμασι, τῇ ἱερᾷ σου προσφέρει μνήμῃ, πάγχρυσε τὴ ψυχῇ σὺν τῇ γλώττῃ, Ἰωάννη θεόσοφε· ἀλλ' ὡς ἔχων παρρησίαν Ὅσιε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΗΝ ΙΔ'. ΝΟΕΜΒΡΙΟΥ.

Τοῦ Ἁγίου Ἀποστόλου Φιλίππου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Βύζαντος.

Τοῦ μεγάλου Φίλιππε Φωτός, ταῖς ἀστραπαῖς πυρωθείς, παγκόσμιος ἐξέλαμψας φωστήρ· τὸν Πατέρα δὲ τῶν Φώτων, ἐν Υἱῷ ζητήσας εὗρες· ἐν τῷ φωτὶ τὸ φῶς γὰρ εὑρίσκεται· καὶ γὰρ οὗτος σφραγὶς ἰσότυπος, δηλῶν τὸ ἀρχέτυπον· ὃν Ἀπόστολε δυσώπει, τοὺς ἐσφραγισμένους τῷ θείῳ, περισώζεσθαι Αἵματι.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος β'. Βυζαντίου.

Καταλιπὼν τὰ ἐπὶ γῆς, ἠκολούθησας Χριστῷ· καὶ σφραγισθείς, τῷ ἐμφυσήματι τοῦ Ἁγίου Πνεύματος, ἀ-

πεσταλης ὑπ' αὐτοῦ, εἰς τὰ ἔθνη τὰ ἀπολωλότα,, ἐπιστρέφειν τοὺς ἀνθρώπους, εἰς φῶς θεογνωσίας, Φίλιππε Ἀπόστολε· καὶ τελέσας τὸν ἀγῶνα τοῦ θείου σου πόθου, διὰ βασάνων πολυπλόκων, τὴν ψυχήν σου τῷ Θεῷ παρέδωκας. Αὐτὸν ἱκέτευε παμμακάριστε, δωρηθῆναι ἡμῖν τὸ μέγας ἔλεος.

Ἀπολυτίκιον. Ἦχος γ'.

Ἀπόστολε Ἅγιε Φίλιππε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ἦχος πλ. δ'.

Ὁ μαθητὴς καὶ φίλος σου, καὶ μιμητὴς τοῦ πάθους σου, τῇ Οἰκουμένῃ Θεόν σε ἐκήρυξεν, ὁ Θεηγόρος Φίλιππος· ταῖς αὐτοῦ ἱκεσίαις, ἐξ ἐχθρῶν παρανόμων, τὴν Ἐκκλησίαν σου, καὶ πᾶσαν πόλιν σου, διὰ τῆς Θεοτόκου συντήρησον Πολυέλεε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος β'.

Φιάλαι τῶν ἀρωμάτων ἐν Κόσμῳ, αἱ σιαγόνες σȣ σοφέ, ὤφθησαν Ἀπόστολε Φίλιππε, περικιρνῶσαι τοῖς πιστοῖς πόμα τὸ ζωοποιόν· πρᾶξιν γὰρ εἰς θεωρίας ἐπίβασιν ἐσχηκὼς, Χριστοῦ ὀπαδὸς καὶ προσήγορος ἐχρημάτισας· τὴν στεῖραν καὶ ἄτεκνον ἐθνῶν Ἐκκλησίαν, εὐτεκνωθεῖσαν ἐν αὐτῷ, κατεποίκιλας διδαχαῖς· ἣν καὶ νῦν δυσώπει λυτρωθῆναι, δεινῶν καὶ ἀναγκῶν· δύνασαι γὰρ ἐν Θεῷ πολλὰ, ἐγγίζων αὐτῷ.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος γ'.

Τὴν τῶν ἰχθύων ἄγραν, εἰς ἀνθρώπων ἁλείαν μεταβαλὼν, τοὺς ἐν βυθῷ ἀπάτης, τῇ σαγήνῃ ἀνέλκων τῇ μυστικῇ, Φίλιππε Ἀπόστολε, ὅλον τὸν Κόσμον ἐζώγρησας, καὶ τῷ Διδασκάλῳ σου Χριστῷ προσήγαγες· διὸ δυσωποῦμέν σε, πρεσβεύειν αὐτῷ ἀπαύστως, σωθῆναι τὰς ψυχὰς ἡμῶν, τῶν πιστῶς προστρεχόντων τῇ σκέπῃ σου.



ΕΙΣ ΤΗΝ ΙϚ΄. ΝΟΕΜΒΡΙΟΥ.

Τοῦ Ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ματθαίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος δ΄.

Καλοῦντι Χριστῷ, πρὸς μαθητείαν οὐράνιον, προθύμως ἠκολούθησας Θεόληπτε, πᾶσαν σχολὴν φροντίδος γηΐνης, ὑφ' ἓν παρωσάμενος· ἐπαξίαν γὰρ τῆς ἄνω Βασιλείας, γνώμην εὐπειθῶς ἀναλαβόμενος, τῆς χαμαιζήλου πολιτείας, καὶ δόξης κενῆς ἀπέστης. Εὐαγγελιστὴς ἀπὸ Τελώνου γενόμενος, φῶς τε τῶν ἐν σκότει χρηματίσας, καὶ πεπλανημένων ὁδηγὸς πρὸς Σωτηρίαν· νῦν δὲ πρεσβευτὴς, παντὸς τοῦ Κόσμου θερμότατος, καὶ τῶν σὲ γεραιρόντων Ματθαῖε, φύλαξ Σωτήριος.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β΄.

Ἐκ πυθμένος κακίας ἐσχάτης, πρὸς ἀκρότατον ὕψος ἀρετῆς, ὡς ἀετὸς ὑψιπέτης, παραδόξως ἀνέδραμες, Ματθαῖε πανεύφημε· τοῦ γὰρ καλύψαντος Οὐρανοὺς ἀρετῇ, καὶ τῆς συνέσεως αὐτοῦ, πᾶσαν τὴν γῆν πληρώσαντος, Χριστοῦ ἀκολουθήσας τοῖς ἴχνεσι, μιμητὴς διάπυρος ἐν πᾶσιν αὐτοῦ πεφανέρωσαι, εὐαγγελιζόμενος εἰρήνην, ζωὴν, καὶ σωτηρίαν, τοῖς πειθαρχοῦσιν εὐσεβῶς, τοῖς θείοις προστάγμασιν· ἐν οἷς ἡμᾶς καθοδήγησον, εὐαρεστοῦντας τῷ Κτίστῃ, καὶ σὲ μακαρίζοντας.

Ἀπολυτίκιον. Ἦχος γ΄.

Ἀπόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Ματθαῖε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἦχος δ΄.

Τοῦ Τελωνίου τὸν ζυγὸν ἀποῤῥίψας, δικαιοσύνης τῷ ζυγῷ προσηρμόσθης, καὶ ἀνεδείχθης ἔμπορος πανάριστος, πλοῦτον κομισάμενος, τὴν ἐξ ὕψους σοφίαν· ὅθεν

ἀνεκήρυξας, ἀληθείας τὸν λόγον, καὶ τῶν ῥαθύμων ἤγειρας ψυχάς, καθυπογράψας τὴν ὥραν τῆς Κρίσεως.

Εἰς τοὺς Αἴνους. Δόξα. Βύζαντος. Ἦχος δ'.

Ζυγὸν λιπὼν ἀδικίας, καὶ χρυσὸν ἀποῤῥίψας πλεονεξίας, ζυγῷ δικαιοσύνης προστρέχεις, καὶ μὴ κενούμενον πλοῦτον ἁρπάζεις, ὡς ἐχέφρων ἔμπορος ἀνταλλαξάμενος τῶν προσκαίρων τὰ μόνιμα, καὶ τῶν ἀπολλυμένων τὰ διαμένοντα· τὸν γὰρ Θεολαμπῆ, καὶ πολύτιμον Μαργαρίτην κτησάμενος, τὰ Καίσαρος Καίσαρι, τῶν κάτω συρομένων, ἐμφρόνως ἀπέλιπες, καὶ τῷ παμβασιλεῖ, εὐπειθῶς ἀκολουθήσας Χριστῷ, πᾶσαν τὴν κτίσιν ἐπλούτισας, εὐαγγελικαῖς Θεηγορίαις σοφέ· ἀλλ' αἴτησαι καὶ νῦν, Ματθαῖε, πανάριστε, τοῖς σὲ τιμῶσι σωτηρίαν, καὶ μέγα ἔλεος.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος πλ. δ'.

Κροτήσωμεν ἐν ᾄσμασι σήμερον πιστοί, ἐπὶ τῇ μνήμῃ τοῦ σεπτοῦ Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ματθαίου· οὗτος γὰρ ῥίψας τὸν ζυγόν, καὶ τὸν χρυσὸν τοῦ Τελωνίου, ἠκολούθησε Χριστῷ, καὶ κῆρυξ τοῦ Εὐαγγελίου, Θεῖος ἐχρημάτισεν· ὅθεν ἐξῆλθε Προφητικῶς ὁ φθόγγος αὐτοῦ εἰς τὴν Οἰκουμένην· καὶ πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ Κ'. ΝΟΕΜΒΡΙΟΥ.

Προεόρτια τῆς ἐν τῷ Ναῷ Εἰσόδου τῆς Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος δ'.

Σήμερον ὁ Θεοχώρητος Ναός, ἡ Θεοτόκος, ἐν Ναῷ Κυρίου προσάγεται, καὶ Ζαχαρίας ταύτην ὑποδέχεται. Σήμερον, τὰ τῶν Ἁγίων Ἅγια ἀγάλλονται, καὶ ὁ χορὸς τῶν Ἀγγέλων μυστικῶς πανηγυρίζει· μεθ' ὧν καὶ ἡμεῖς, ἑορτάζοντες σήμερον, σὺν τῷ Γαβριὴλ ἐκβοήσωμεν· Χαῖ-

ρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος δ'.

Δεῦτε πάντες οἱ πιστοὶ, τὴν μόνην ἀμώμητον ἐγκωμιάσωμεν, τὴν ἐκ τῶν Προφητῶν προκηρυχθεῖσαν, καὶ ἐν Ναῷ προσενεχθεῖσαν· τὴν πρὸ τῶν αἰώνων προορισθεῖσαν Μητέρα, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἀναδειχθεῖσαν Θεοτόκον. Κύριε πρεσβείαις αὐτῆς, τὴν εἰρήνην σου παράσχου ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Προεόρτιον. Ἦχος δ'.

Χαρὰν προμνηστεύεται σήμερον Ἄννα ἡμῖν, τῆς λύπης ἀντίθετον, καρπὸν βλαστήσασα, τὴν μόνην ἀειπάρθενον· ἥνπερ δὴ καὶ προσάγει, τὰς εὐχὰς ἐκπληροῦσα, σήμερον γηθομένη, τῷ Ναῷ τοῦ Κυρίου, ὡς ὄντως Ναὸν τοῦ Θεοῦ Λόγου, καὶ Μητέρα ἁγνήν.

Κοντάκιον. Ἐπεφάνης σήμερον. Ἦχος δ'.

Εὐφροσύνης σήμερον, ἡ Οἰκουμένη, ἐπληρώθη ἅπασα, ἐν τῇ εὐσήμῳ Ἑορτῇ, τῆς Θεοτόκου κραυγάζουσα· Αὕτη ὑπάρχει, σκηνὴ ἐπουράνιος.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα, καὶ νῦν. Ἦχος ά.

Γεωργίου Νικομηδείας.

Ἀγαλλιάσθω σήμερον, ὁ Οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι εὐφροσύνην ῥανάτωσαν, ἐπὶ τὰ λίαν παράδοξα, μεγαλεῖα τοῦ Θεοῦ ἡμῶν. Ἰδοὺ γὰρ ἡ πύλη ἡ κατὰ ἀνατολὰς βλέπουσα, ἀποκυηθεῖσα, ἐκ στείρας ἀκάρπου, ἐξ ἐπαγγελίας, καὶ τῷ Θεῷ ἀφιερωθεῖσα εἰς κατοίκησιν, σήμερον, ἐν τῷ Ναῷ, ὡς ἄμωμος προσφορὰ προσάγεται. Ἀγαλλιάσθω ὁ Δαυῒδ κρούων τὴν κινύραν, ἀπενεχθήσονται φησὶ τῷ Βασιλεῖ Παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται, ἔσω ἐν τῇ σκηνῇ τοῦ Θεοῦ, ἔνδον τοῦ ἱλαστηρίου αὐτοῦ, ἀνατραφῆναι εἰς κατοίκησιν, τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς ἀῤῥεύστως γεννηθέντος, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΗΝ ΚΑ΄. ΝΟΕΜΒΡΙΟΥ.

Τὰ Εἰσόδια τῆς ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ΄.

Μετὰ τὸ τεχθῆναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου ἐν Ναῷ Κυρίου, τοῦ ἀνατραφῆναι εἰς τὰ Ἅγια τῶν Ἁγίων, ὡς ἡγιασμένη· τότε καὶ Γαβριὴλ ἀπεστάλη πρὸς σὲ τὴν πανάμωμον, τροφὴν κομίζων σοι. Τὰ Οὐράνια πάντα ἐξίστησαν, ὁρῶντα τὸ Πνεῦμα τὸ Ἅγιον ἐν σοὶ σκηνῶσαν. Διὸ ἄσπιλε ἀμόλυντε, ἡ ἐν Οὐρανῷ καὶ ἐπὶ Γῆς δοξαζομένη, Μήτηρ Θεοῦ, σῶζε τὸ γένος ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Σεργίου Ἁγιοπολίτου. Ἦχος πλ. β΄.

Σήμερον τὰ στίφη τῶν πιστῶν συνελθόντα, πνευματικῶς πανηγυρίσωμεν, καὶ τὴν θεόπαιδα Παρθένον καὶ Θεοτόκον, ἐν Ναῷ Κυρίου προσαγομένην, εὐσεβῶς ἀνευφημήσωμεν. Τὴν προεκλεχθεῖσαν ἐκ πασῶν τῶν γενεῶν εἰς κατοικητήριον τοῦ παντάνακτος Χριστοῦ, τοῦ Θεοῦ τῶν ὅλων. Παρθένοι, λαμπαδηφοροῦσαι προπορεύεσθε, τῆς ἀειπαρθένου τιμῶσαι, τὴν σεβάσμιον πρόοδον. Μητέρες, λύπην πᾶσαν ἀποθέμεναι, χαρμονικῶς συνακολουθήσατε, τὴν Μητέρα τοῦ Θεοῦ γενομένην, καὶ τῆς χαρᾶς τοῦ Κόσμου τὴν πρόξενον. Ἅπαντες οὖν χαρμονικῶς, τὸ Χαῖρε σὺν τῷ Ἀγγέλῳ ἐκβοήσωμεν, τῇ κεχαριτωμένῃ, τῇ ἀεὶ πρεσβευούσῃ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς Οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Κοντάκιον. Ἦχος δ'. Ὁ Ὑψωθείς.

Ὁ καθαρώτατος Ναὸς τȣ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου,, τὴν χάριν συνεισάγουσα, την ἐν Πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ· αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Εἰς τοὺς Αἴνους. Δόξα. καὶ νῦν. Λέοντος Μαΐστορος. Ἦχος β'.

Σήμερον, τῷ Ναῷ προσάγεται, ἡ πανάμωμος Παρθένος, εἰς κατοικητήριον τοῦ παντάνακτος Θεοῦ, καὶ πάσης τὴν ζωῆς ἡμῶν τροφοῦ· σήμερον, τὸ καθαρώτατον ἁγίασμα, ὡς τριετίζουσα δάμαλις, εἰς τὰ Ἅγια τῶν Ἁγίων εἰσάγεται. Ταύτῃ ἐκβοήσωμεν, ὡς ὁ Ἄγγελος· Χαῖρε μόνη ἐν γυναιξὶν εὐλογημένη.

ΕΙΣ ΤΗΝ ΚΕ'. ΝΟΕΜΒΡΙΟΥ.

Τῆς Ἁγίας Μεγαλομάρτυρος τοῦ Χριστοῦ, καὶ πανσόφου Αἰκατερίνης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Τῆς Ἁγίας. Ἦχος β'.

Χαρμονικῶς τῇ πανηγύρει, τῆς Θεοσόφου Μάρτυρος Αἰκατερίνης, συνδράμωμεν ὦ Φιλομάρτυρες, καὶ ταύτην τοῖς ἐπαίνοις, ὡς ἄνθεσι καταστέψωμεν· χαίροις, βοῶντες, αὐτῇ ἡ τῶν φληνάφων ῥητόρων τὴν θρασυστομίαν ἐλέγξασα, ὡς ἀπαιδευσίας ἀνάπλεων, καὶ τούτους πρὸς πίστιν θείαν χειραγωγήσασα. Χαίροις ἡ τὸ σῶμα, πολυπλόκοις βασάνοις, ἐκδοῦσα, δι' ἀγάπην τοῦ Ποιητοῦ σου, καὶ μὴ καταβληθεῖσα, ὡς ἄκμων ἀνάλωτος. Χαίροις ἡ ταῖς ἄνω μοναῖς, ἀντάξια τῶν πόνων εἰσοικισθεῖσα, καὶ δόξης αἰωνίου κατατρυφήσασα· ἧς ἐφιέμενοι οἱ ὑμνῳδοί σου, τῆς ἐλπίδος μὴ ἐκπέσωμεν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος πλ. δ'.

Μετὰ τὸ τεχθῆναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου ἐν Ναῷ Κυρίου, τοῦ ἀνατραφῆναι εἰς τὰ Ἅγια τῶν

Ἁγίων, ὡς ἡγιασμένη· τότε καὶ Γαβριὴλ ἀπεστάλη πρὸς σὲ τὴν πανάμωμον, τροφὴν κομίζων σοι. Τὰ Οὐράνια πάντα ἐξέστησαν, ὁρῶντα τὸ Πνεῦμα τὸ Ἅγιον ἐν σοὶ σκηνῶσαν. Διὸ ἄσπιλε ἀμόλυντε, ἡ ἐν Οὐρανῷ καὶ ἐπὶ Γῆς δοξαζομένη, Μήτηρ Θεοῦ, σῶζε τὸ γένος ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Βαβύλα.

Ἦχος β'.

Βίον ἄϋλον ἐξησκημένη, βῆμα ἄθεον καταλαβοῦσα, ἔστης τροπαιοφόρος Αἰκατερίνα σεμνὴ, ἀνθηφοροῦσα τοῦ Θεοῦ τὴν λαμπρότητα· καὶ τὸ θεῖον σθένος ἐνδεδυμένη, δόγμα Τυράννου κατεμυκτήρισας, καὶ ῥητόρων ἔπαυσας, τὰς φληνάφους ῥήσεις πολύαθλε.

Καὶ νῦν. Ἦχος πλ. β'.

Σήμερον τὰ στίφη τῶν πιστῶν συνελθόντα, πνευματικῶς πανηγυρίσωμεν, καὶ τὴν Θεόπαιδα Παρθένον καὶ Θεοτόκον, ἐν Ναῷ Κυρίου προσαγομένην, εὐσεβῶς ἀνευφημήσωμεν. Τὴν προεκλεχθεῖσαν ἐκ πασῶν τῶν γενεῶν, εἰς κατοικητήριον, τοῦ παντάνακτος Χριστοῦ, καὶ Θεοῦ τῶν ὅλων· Παρθένοι λαμπαδηφοροῦσαι προπορεύεσθε, τῆς Ἀειπαρθένου τιμῶσαι τὴν σεβάσμιον πρόοδον. Μητέρες λύπην πᾶσαν ἀποθέμεναι, χαρμονικῶς συνακολουθήσατε, τὴν Μητέρα τοῦ Θεοῦ γενομένην, καὶ τῆς χαρᾶς τοῦ Κόσμου τὴν πρόξενον. Ἅπαντες σὺν χαρμονικῶς, τὸ Χαῖρε σὺν τῷ Ἀγγέλῳ ἐκβοήσωμεν, τῇ κεχαριτωμένῃ, τῇ ἀεὶ πρεσβευούσῃ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ Βαπτισμῷ σου· καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω ἐν σοὶ, καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω σὺν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β'.
Τὰ ἄνω ζητῶν.

Χορείαν σεπτὴν, ἐνθέως φιλομάρτυρες, ἐγείρατε νῦν, γεραίροντες τὴν πάνσοφον, Αἰκατερίναν· αὕτη γὰρ, ἐν σταδίῳ τὸν Χριστὸν ἐκήρυξε, καὶ τὸν ὄφιν ἐπάτησε, ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος β'.

Βίον ἄϋλον ἐξησκημένη, βῆμα ἄθεον καταλαβοῦσα, ἔστης τροπαιοφόρος Αἰκατερίνα σεμνὴ, ἀνθηφοροῦσα τοῦ Θεοῦ τὴν λαμπρότητα· καὶ τὸ θεῖον σθένος ἐνδεδυμένη, δόγμα Τυράννου κατεμυκτήρισας, καὶ ῥητόρων ἔπαυσας, τὰς φληνάφους ῥήσεις πολύαθλε.

Καὶ νῦν. Ἦχος β'.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας, ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς Οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

ΕΙΣ ΤΗΝ ΚϚ'. ΝΟΕΜΒΡΙΟΥ.

Τῶν Ὁσίων Πατέρων ἡμῶν, Ἀλυπίου τοῦ Κιονίτου, καὶ Στυλιανοῦ τοῦ Παφλαγόνος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.
Τοῦ Ἀλυπίου.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς Οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων, ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. Παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεὸν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Τοῦ Ἁγίου Στυλιανοῦ.
Ἦχος πλ. δ'.

Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν, Στυλιανὲ, Πατὴρ ἡμῶν· διὰ γάρ σου τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν· μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, Ἀγγέλων συνόμιλε, Δικαίων ὁμόσκηνε, καὶ Ὁσίων· μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Τοῦ Ἁγίου Ἀλυπίου.

Ὑπομονῆς στύλος γέγονας, ζηλώσας τοὺς Προπάτορας Ὅσιε, τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι. Ἀλύπιε Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τοῦ Ἁγίου Στυλιανοῦ.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ Οἰκουμένῃ λάμπων τοῖς θαύμασι. Στυλιανὲ Πατὴρ ἡμῶν Ὅσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Τοῦ Ἁγίου Ἀλυπίου. Ὡς ἀπαρχάς.
Ἦχος πλ. δ'.

Ὡς ἀρετῶν ὑπόθεσιν, καὶ Ἀσκητῶν καλλώπισμα, ἡ Ἐκκλησία δοξάζει σε σήμερον, καὶ ἀνυμνεῖ σε Ἀλύπιε· ταῖς εὐχαῖς σου παράσχου, τοῖς τιμῶσιν ἐκ πόθου τὰς ἀριστείας σου, καὶ τὰ παλαίσματα, τῶν δεινῶν ἐγκλημάτων ἐκλύτρωσιν, ὡς ἐπώνυμος.

Καὶ τοῦ Ὁσίου Στυλιανοῦ. Ἐπεφάνης σήμερον.
Ἦχος δ'.

Ἐν τῇ μνήμῃ σήμερον τῇ ἱερᾷ σου, συνελθόντες ἅπαντες, ἐκδυσωποῦμεν οἱ πιστοὶ, Στυλιανὲ Ὁσιώτατε, παρὰ Κυρίου, εὑρεῖν ἡμᾶς ἔλεος.

Εἰς τοὺς Αἴνους. Δόξα. Τοῦ Ἁγίου Ἀλυπίου.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς Οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. Παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Ἦ τοῦ Ἁγίου Στυλιανοῦ. Ἦχος πλ. β'.

Τῶν ἐν τῷ βίῳ πραγμάτων, κατεφρόνησας Στυλιανὲ Πάτερ Ὅσιε, ὅτι τὴν ἄνω πολιτείαν ἐπεπόθησας· πλοῦτον ἐβδελύξω, ἐνδυσάμενος ταπείνωσιν· τρυφὴν ἐμίσησας, καὶ ἐπεσπάσω τὴν ἐγκράτειαν· ἀδικίαν ἀπεβάλου, καὶ ἐδίωξας δικαιοσύνην. Διὸ Πάτερ Ὅσιε, μνημόνευε καὶ ἡμῶν, ἐν ταῖς ὁσίαις εὐχαῖς σου πρὸς Κύριον.

ΕΙΣ ΤΗΝ Λ'. ΝΟΕΜΒΡΙΟΥ.

Τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου, Ἀνδρέου τοῦ Πρωτοκλήτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος δ'. Ἀνατολίου.

Τὴν τῶν ἰχθύων ἄγραν, καταλιπὼν Ἀπόστολε, ἀνθρώπους σαγηνεύεις, καλάμῳ τοῦ κηρύγματος· χαλῶν ὥσπερ ἄγκιστρον, τῆς εὐσεβείας τὸ δέλεαρ, καὶ ἀνάγων ἐκ τοῦ βυθοῦ τῆς πλάνης τὰ ἔθνη ἅπαντα. Ἀνδρέα Ἀπόστολε, τοῦ Κορυφαίου ὁμαίμων, καὶ τῆς Οἰκουμένης ὑφηγητὰ διαπρύσιε, πρεσβεύων μὴ ἐλλείπῃς ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει καὶ πόθῳ εὐφημούντων πανεύφημε, τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Ἦχος Ὁ αὐτός.

Ἠσαΐα χόρευε, λόγον Θεοῦ ὑπόδεξαι. Προφήτευσον τῇ Κόρῃ Μαριάμ, βάτον καταφλέγεσθαι, καὶ πυρὶ μὴ καίεσθαι, τῇ αἴγλῃ τῆς Θεότητος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδέμ, καὶ Μάγοι πορεύεσθε, ἰδεῖν τὴν

σωτηρίαν· ἐν φάτνῃ σπαργανούμενον, ὃν ἀστὴρ ἐμήνυσεν, ἐπάνω τοῦ σπηλαίου, ζωοδότην Κύριον, τὸν σώζοντα τὸ γένος ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Γερμανοῦ. Ἦχος γ'.

Τὸν συναίμονα Πέτρου, καὶ Χριστοῦ μαθητὴν, τῶν ἰχθύων ἀγρευτὴν, καὶ ἁλιέα τῶν ἀνθρώπων, ἐν ὕμνοις τιμήσωμεν, Ἀνδρέαν τὸν Ἀπόστολον· τοῦ γὰρ Ἰησοῦ τὰ διδάγματα, πάντας ἐξεπαίδευσε τοῖς δόγμασι, καὶ ὡς δέλεαρ ἰχθύσι, τὰς σάρκας τοῖς ἀνέμοις παρέδωκε, καὶ τούτους ἐσαγήνευσεν· αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ, παράσχου τῷ λαῷ σου εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Ἰωσὴφ, εἰπὲ ἡμῖν, πῶς ἐκ τῶν ἁγίων, ἣν παρέλαβες Κόρην, ἔγκυον φέρεις ἐν Βηθλεέμ; ἐγώ φησι, τοὺς Προφήτας ἐρευνήσας, καὶ χρηματισθεὶς ὑπὸ Ἀγγέλου, πέπεισμαι, ὅτι Θεὸν γεννήσει ἡ Μαρία ἀνερμηνεύτως· οὗ εἰς προσκύνησιν, Μάγοι ἐξ ἀνατολῶν ἥξουσι, σὺν δώροις τιμίοις λατρεύοντες· ὁ σαρκωθεὶς δι' ἡμᾶς, Κύριε δόξα σοι.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ὡς τῶν Ἀποστόλων Πρωτόκλητος, καὶ τοῦ Κορυφαίου αὐτάδελφος, τῷ Δεσπότῃ τῶν ὅλων Ἀνδρέα ἱκέτευε, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Κοντάκιον. Τὴν ἐν πρεσβείαις. Ἦχος β'.

Τὸν τῆς ἀνδρείας, ἐπώνυμον Θεηγόρον, καὶ Μαθητὴν τὸν Πρωτόκλητον τοῦ Σωτῆρος, Πέτρου τὸν σύγγονον εὐφημήσωμεν· ὅτι ὡς πάλαι τούτῳ, καὶ νῦν ἡμῖν ἐκέκραγεν· εὑρήκαμεν δεῦτε τὸν ποθούμενον.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἀνατολίου. Ἦχος πλ. δ'.

Τὸν κήρυκα τῆς Πίστεως, καὶ ὑπηρέτην τοῦ Λόγου Ἀνδρέαν εὐφημήσωμεν· οὗτος γὰρ τοὺς ἀνθρώπους ἐκ τοῦ βυθοῦ ἁλιεύει, ἀντὶ καλάμου τὸν Σταυρὸν, ἐν ταῖς χερσὶ διακρατῶν· καὶ ὡς σπαρτίον χαλῶν τὴν δύναμιν,

ἐπανάγει τὰς ψυχὰς ἀπὸ τῆς πλάνης τοῦ ἐχθροῦ, καὶ προσκομίζει τῷ Θεῷ δῶρον εὐπρόσδεκτον· ἀεὶ τοῦτον πιστοὶ, σὺν τῇ χορείᾳ τῶν Μαθητῶν τοῦ Χριστοῦ εὐφημήσωμεν, ἵνα πρεσβεύῃ αὐτῷ, ὅπως ἵλεως γενήσεται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Υ῾πόδεξαι Βηθλεὲμ, τὴν τοῦ Θεοῦ Μητρόπολιν· φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν Οὐρανῷ· ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τὸ τρισόκλεον δῶρον προσκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τὸν Τρισάγιον ὕμνον μελῳδήσατε· πᾶσα πνοὴ, αἰνεσάτω τὸν παντουργέτην.

ΔΕΚΕΜΒΡΙΟΣ.

ΕΙΣ ΤΗΝ Δ΄. ΔΕΚΕΜΒΡΙΟΥ.

Τῆς Ἁγίας Μεγαλομάρτυρος Βαρβάρας καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Τῆς Ἁγίας. Ἦχος πλ. β΄.

Πατρίδα, γένος, ὕπαρξιν, καταλιποῦσα Βαρβάρα, καὶ τὸν ἀσεβῆ Πατέρα μισήσασα, Θεὸν ἠγάπησας, ᾧ ἐνυμφεύθης, καὶ γέγονας μεγαλέμπορος, κληθεῖσα· αὐτὸν ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Τοῦ Ὁσίου. Ἦχος πλ. β΄.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς Οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. Παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεὸν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Ἀπολυτίκιον. Τῆς Ἁγίας.
Ἦχος δ'.

Ἡ Ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ Βαπτισμῷ σου· καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω ἐν σοί, καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω σὺν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι· αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ τοῦ Ὁσίου. Ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας Διδάσκαλε, καὶ σεμνότητος τῆς Οἰκουμένης ὁ φωστήρ, τῶν μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Ἰωάννη σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας. Λύρα τοῦ Πνεύματος, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Τῆς Ἁγίας. Ὁ ὑψωθείς. Ἦχος δ'.

Τῷ ἐν Τριάδι εὐσεβῶς ὑμνουμένῳ, ἀκολουθήσασα σεμνὴ Ἀθληφόρε, τὰ τῶν εἰδώλων ἔσβεσας σεβάσματα· μέσον δὲ τοῦ σκάμματος, ἐναθλοῦσα Βαρβάρα, Τυράννων οὐ κατέπτηξας, ἀπειλὰς ἀνδρειόφρον, μεγαλοφώνως μέλπουσα ἀεί· Τριάδα σέβω τὴν μίαν Θεότητα.

Κοντάκιον. Τοῦ Ὁσίου. Ὅμοιον.

Τὸν ὑμνογράφον καὶ σεπτὸν Θεηγόρον, τῆς Ἐκκλησίας παιδευτὴν καὶ Διδάσκαλον, καὶ τῶν ἐχθρῶν ἀντίπαλον, Ἰωάννην ἀνυμνήσωμεν· ὅπλον γὰρ ἀράμενος, τὸν Σταυρὸν τοῦ Κυρίου, πᾶσαν ἀπεκρούσατο τῶν Αἱρέσεων πλάνην, καὶ ὡς θερμὸς προστάτης εἰς Θεόν, πᾶσι παρέχει πταισμάτων συγχώρησιν.

Εἰς τοὺς Αἴνους. Δόξα. Τῆς Ἁγίας. Ἦχος πλ. β'.

Ἀθλητικὴν ὁδεύσασα ὁδόν, προγονικὴν ἐξέφυγες βουλήν, Βαρβάρα πανσεβάσμιε· καὶ ὡς μὲν Παρθένος φρονίμη, λαμπαδηφόρος εἰσῆλθες, εἰς τὰς αὐλὰς τοῦ Κυρίου σου· ὡς δὲ Μάρτυς ἀνδρεία, χάριν ἔλαβες ἰατρεύειν, τῆς σαρκὸς σαθρὰν λύμην· ἀλλὰ καὶ ἡμᾶς, τοὺς ἀνυμνοῦν-

τάς σε, ψυχικῶν ἀλγηδόνων ἐκλύτρωσαι, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

ΕΙΣ ΤΗΝ Ε΄. ΔΕΚΕΜΒΡΙΟΥ.

Τοῦ Ὁσίου, καὶ Θεοφόρου Πατρὸς ἡμῶν Σάββα τοῦ Ἡγιασμένου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἰδιόμελον. Ἦχος πλ. β΄.

Τὸ κατ' εἰκόνα τηρήσας ἀλώβητον, νοῦν ἡγεμόνα, κατὰ παθῶν ὀλεθρίων, ἀσκητικῶς ἐνστησάμενος, εἰς τὸ καθ' ὁμοίωσιν ὡς δυνατὸν ἀνελήλυθας· ἀνδρικῶς γὰρ τὴν φύσιν ἐκβιασάμενος, ἔσπευσας τὸ χεῖρον, καθυποτάξαι τῷ κρείττονι, καὶ τὴν σάρκα δουλῶσαι τῷ πνεύματι· ὅθεν Μοναζόντων, ἀνεδείχθης ἀκρότης, πολιστὴς τῆς Ἐρήμου, εὐδρομούντων ἀλείτης, Κανὼν ἀρετῆς ἀκριβέστατος· καὶ νῦν ἐν Οὐρανοῖς τῶν ἐσόπτρων λυθέντων Μακάριε, καθαρῶς ἐποπτεύεις τὴν ἁγίαν Τριάδα, ἐντυγχάνων ἀμέσως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων σε.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ΄.

Τῶν Μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν, Σάββα Πατὴρ ἡμῶν· διὰ γάρ σου τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν· μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν· Ἀγγέλων συνόμιλε, Δικαίων ὁμόσκηνε, καὶ Ὁσίων· μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθου στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστήρ, τῇ Οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Σάββα Πατὴρ ἡμῶν Ὅσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος πλ δ'. Τῇ ὑπερμάχῳ.

Ὡς ἀπὸ βρέφους τῷ Θεῷ θυσία ἄμωμος, προσενεχθεὶς δι' ἀρετῆς Σάββα Μακάριε, τῷ σὲ πρὶν γεννηθῆναι ἐπισταμένῳ, ἐχρημάτισας Ὁσίων ἐγκαλλώπισμα, πολιστής τε τῆς ἐρήμου ἀξιέπαινος· Διὸ κράζω σοι· χαίροις Πάτερ ἀοίδιμε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς Οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας· παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεὸν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

ΕΙΣ ΤΗΝ ϛ'. ΔΕΚΕΜΒΡΙΟΥ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Ἱεραρχῶν τὴν καλλονὴν, καὶ τῶν Πατέρων κλέος, τὴν βρύσιν τῶν θαυμάτων, καὶ τῶν πιστῶν ἀντιλήπτορα μέγιστον, συνελθόντες ὦ Φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις ὑμνήσωμεν, λέγοντες· Χαίροις ὁ τῶν Μυρέων φρουρὸς, καὶ πρόεδρος σεπτὸς, καὶ στύλος ἀπερίτρεπτος. Χαίροις φωστὴρ παμφαέστατε, ὁ τὰ τοῦ Κόσμου πέρατα διαλάμπων τοῖς θαύμασι. Χαίροις τῶν θλιβομένων ἡ θεία χαρμοσύνη, καὶ ἀδικουμένων θερμότατος προστάτης· καὶ νῦν Παμμάκαρ Νικόλαε, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων ἀεὶ, τὴν χαρμόσυνον καὶ πανέορτον μνήμην σου.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Σπήλαιον εὐτρεπίζȣ· ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ

λύσαντα τῆς ἀλόγου πράξεως, ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτὸν, καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσάξατε· ὅτι ὤφθη Κύριος, ἐκ Παρθένου μητρός· ὅν περ καὶ κύψασα, δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· πῶς ἐνεσπάρης μοι; ἢ πῶς μοι ἐνεφύης, ὁ λυτρωτής μου καὶ Θεός;

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπον, λειτουργὲ Κυρίου, ἄνερ ἐπιθυμιῶν, σκεῦος ἐκλογῆς, στῦλε καὶ ἑδραίωμα τῆς Ἐκκλησίας, Βασιλείας κληρονόμε, μὴ παρασιωπήσῃς, τοῦ βοᾷν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν. Προεόρτιον. Ἦχος, ὁ αὐτός.

Ἀνύμφευτε Παρθένε, πόθεν ἥκεις; τίς ὁ τεκών σε; τίς καὶ ἡ Μήτηρ σου; πῶς τὸν Κτίστην φέρεις ἐν ἀγκάλαις; πῶς οὐκ ἐφθάρης τὴν νηδύν; μεγάλων παραδόξων ἐπὶ σοὶ φρικτῶν Μυστηρίων, ἐπὶ γῆς τελουμένων, ὁρῶμεν Παναγία, καὶ προευτρεπίζομεν ἐπάξιόν σοι χρέος, ἐκ τῆς γῆς τὸ Σπήλαιον, καὶ Οὐρανὸν αἰτοῦμεν, παρασχεῖν τὸν Ἀστέρα· καὶ Μάγοι δὲ προέρχονται, ἀπὸ Ἀνατολῶν τῆς γῆς, εἰς δυσμὰς θεάσασθαι, τὴν βροτῶν σωτηρίαν, ἀγκάλαις δᾳδουχούμενον.

Ἀπολυτίκιον. Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας Διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλὰ, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Νικόλαε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἡ Παρθένος σήμερον.
Ἦχος γ'.

Ἐν τοῖς Μύροις Ἅγιε, ἱερουργὸς ἀνεδείχθης· τοῦ Χριστοῦ γὰρ Ὅσιε, τὸ Εὐαγγέλιον πληρώσας, ἔθηκας

τὴν ψυχήν σε ὑπὲρ λαοῦ σου, ἔσωσας τοὺς ἀθώους ἐκ τε θανάτου· διὰ τοῦτο ἡγιάσθης, ὡς μέγας μύστης Θεε τῆς χάριτος.

Εἰς τὰς Αἴνες. Δόξα. Ἦχος πλ. ά.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν ἑόρτια, καὶ χορεύσωμεν ἀγαλλόμενοι, τῇ ἐτησίῳ πανηγύρει τοῦ Θεοφόρου Πατρός. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν δι' ὀνείρου φρικτῆς ἐπιστασίας, Βασιλέα πείθοντα, ἀναιτίους κρατουμένους τρεῖς, ἀπολῦσαι στρατηλάτας ἀνυμνείτωσαν. Ποιμένες, καὶ Διδάσκαλοι, τὸν τοῦ καλοῦ Ποιμένος, ὁμόζηλον Ποιμένα, συνελθόντες εὐφημήσωμεν. Οἱ ἐν νόσοις τὸν ἰατρόν, οἱ ἐν κινδύνοις τὸν ῥύστην, οἱ ἁμαρτωλοὶ τὸν προστάτην, οἱ πένητες τὸν θησαυρόν, οἱ ἐν θλίψεσι τὴν παραμυθίαν, τὸν συνοδίτην οἱ ὁδοιπόροι, οἱ ἐν θαλάσσῃ τὸν Κυβερνήτην, οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα, μέγιστον Ἱεράρχην, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Παναγιε Νικόλαε, πρόφθασον, ἐξελοῦ ἡμᾶς τῆς ἐνεστώσης ἀνάγκης· καὶ σῶσον τὴν ποίμνην σου ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· προκύψασα γὰρ ἄνωθεν, ἡ Παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας αὐτήν. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατουμένους πρίν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος ὑπέραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν· τὴν Λυχνίαν τὴν χρυσαυγῆ, τὴν Φωτοφόρον Νεφέλην, τὴν τῶν Οὐρανῶν πλατυτέραν, τὴν ἔμψυχόν τε Κιβωτόν, τὸν πυρίμορφον τε Δεσπότε Θρόνον, τὴν μανναδόχον χρυσῆν Στάμνον, τὴν κεκλεισμένην τε Λόγε Πύλην, ἁπάντων Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Παλάτιον τε Λόγου, ἀξίωσον τὰς ταπεινὰς ἡμᾶς, τῆς Οὐρανῶν Βασιλείας· ἐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

ΕΙΣ ΤΗΝ Θ΄. ΔΕΚΕΜΒΡΙΟΥ.

Ἡ Σύλληψις τῆς Ἁγίας Ἄννης, τῆς Μητρὸς τῆς Θεοτόκου, καὶ ἡ Ἀνάμνησις τῶν Ἐγκαινίων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Τῶν Ἐγκαινίων. Ἦχος πλ. β΄.

Τὴν μνήμην τῶν Ἐγκαινίων ἐπιτελοῦντες Κύριε, σὲ τὸν τοῦ Ἁγιασμοῦ δοτῆρα, δοξάζοντες δεόμεθα, ἁγιασθῆναι ἡμῶν τὰ αἰσθητήρια τῶν ψυχῶν, τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀθλοφόρων, ἀγαθὲ παντοδύναμε.

Καὶ νῦν. Ἦχος β΄. Γερμανοῦ.

Τὸ ἀπόῤῥητον τοῖς Ἀγγέλοις, καὶ ἀνθρώποις μεγαλεῖον, καὶ ἀπ' αἰῶνος χρησμοδοτούμενον Μυστήριον παράδοξον,, σήμερον ἐν ταῖς λαγόσι τῆς σώφρονος Ἄννης βρεφουργεῖται, Μαρία ἡ Θεόπαις, ἑτοιμαζομένη εἰς κατοικίαν, τοῦ παμβασιλέως τῶν αἰώνων, καὶ εἰς ἀνάπλασιν τοῦ γένους ἡμῶν· ἣν ἐν καθαρῷ συνειδότι καθικετεύσωμεν, ἀναβοῶντες πρὸς αὐτήν· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, ὡς προστασία ὑπάρχουσα ἡμῶν τῶν Χριστιανῶν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Τῶν Ἐγκαινίων. Ἦχος β΄.

Τὸν Ἐγκαινισμὸν τελοῦντες, τȣ͂ πανιέρου Ναοῦ τῆς σῆς Ἀναστάσεως, σὲ δοξάζομεν Κύριε, τὸν ἁγιάσαντα τοῦτον, καὶ τελειώσαντα τῇ αὐτοτελεῖ σȣ χάριτι, καὶ τερπόμενον ταῖς ἐν αὐτῷ ἱερουργουμέναις, ὑπὸ πιστῶν Μυστικαῖς καὶ Ἱεραῖς Τελεταῖς, καὶ προσδεχόμενον ἐκ χειρὸς τῶν δούλων σου, τὰς ἀναιμάκτους καὶ ἀχράντȣς Θυσίας· ἀντιδιδόντα τε τοῖς ὀρθρῶς προσφέρουσι, τὴν τῶν ἁμαρτημάτων κάθαρσιν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός.

Σήμερον ἐκ ῥίζης τοῦ Δαυΐδ, βασιλικὴ πορφυρὶς ἐκβλαστήσασα, τȣ͂ Ἰεσσαὶ βλαστάνειν ἀπάρχεται, τὸ ἄν-

θος τὸ μυστικόν· ἐν ᾗ Χριστὸς ὁ Θεὸς ἡμῶν ἐξήνθησεν, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

'Απολυτίκιον. Ἦχος δ'.

Σήμερον τῆς ἀτεκνίας δεσμὰ διαλύονται· τοῦ Ἰωακεὶμ γὰρ καὶ τῆς Ἄννης εἰσακέων Θεός, παρ' ἐλπίδα τεκεῖν αὐτοὺς σαφῶς ὑπισχνεῖται Θεόπαιδα· ἐξ ἧς αὐτὸς ἐτέχθη ὁ ἀπερίγραπτος, βροτὸς γεγονώς, δι' Ἀγγέλου κελεύσας βοῆσαι αὐτῇ· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Δόξα, καὶ νῦν. Τῶν Ἐγκαινίων.

Ἦχος ὁ αὐτός.

Ὡς τοῦ ἄνω Στερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ Ἁγίου Σκηνώματος τῆς δόξης σου Κύριε, κραταίωσον αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις, πρεσβείαις τῆς Θεοτόκου, ἡ πάντων ζωή, καὶ Ἀνάστασις.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον ἡ Οἰκουμένη, τὴν τῆς Ἄννης Σύλληψιν, γεγενημένην ἐν Θεῷ· καὶ γὰρ αὐτὴ ἀπεκύησε, τὴν ὑπὲρ λόγον, τὸν Λόγον κυήσασαν.

Εἰς τοὺς Αἴνους. Δόξα τῶν Ἐγκαινίων.

Ἦχος πλ. ά.

Ὁ ἐπὶ τῶν κόλπων τῶν Πατρικῶν, ἐπαναπαυόμενος Λόγε, τὸ Πνεῦμά σου τὸ Ἅγιον, ἐγκαίνισον ἐν τῷ Ναῷ, τῷ εἰς τὸ ὄνομά σου ἀνεγηγερμένῳ.

Καὶ νῦν. Ἦχος β'.

Σήμερον ἐκ ῥίζης τοῦ Δαυΐδ, βασιλικὴ πορφυρὶς ἐκβλαστήσασα, τοῦ Ἰεσσαὶ βλαστάνειν ἀπάρχεται, τὸ ἄνθος τὸ μυστικόν· ἐν ᾗ Χριστὸς ὁ Θεὸς ἡμῶν ἐξήνθησεν, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.



ΕΙΣ ΤΗΝ ΙΒ'. ΔΕΚΕΜΒΡΙΟΥ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν, Σπυρίδωνος Τριμυθοῦντος Τοῦ Θαυματουργοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἰδιόμελον. Ἦχος ά. Ἀνατολίου.

Ὅσιε Πάτερ μακάριε, Σπυρίδων σοφὲ, τὴν νεκρὰν ὥσπερ ζῶσαν, ἐπηρώτας δι' ἀγάπην Θεοῦ· ὄφιν δὲ μετέβαλες εἰς χρυσὸν, ὁ πενίαν ἀσκῶν· ῥύσιν δὲ ἐπέσχες ποταμοῦ, συμπαθήσας λαῷ. Βασιλεῖ δὲ παρέστης ἰατὴρ, τῇ προνοίᾳ Θεοῦ· νεκροὺς δὲ πάλιν ἤγειρας, ὡς αὐτοῦ μαθητής· τὴν πίστιν δὲ ἐτράνωσας, ἀναμέσον Πατέρων πολλῶν. Πάντα οὖν ἰσχύων ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ, αὐτὸν καὶ νῦν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος πλ. β'.

Σπήλαιον εὐτρεπίζου· ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα τῆς ἀλόγου πράξεως, ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτὸν, καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ Λίβανον καὶ Σμύρναν, τῷ Βασιλεῖ προσάξατε· ὅτι ὤφθη Κύριος, ἐκ Παρθένου Μητρός· ὅνπερ καὶ κύψασα, δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· πῶς ἐνεσπάρης μοι, ἢ πῶς μοι ἐνεφύης, ὁ λυτρωτής μου καὶ Θεός;

Εἰς τὸν Στίχον. Δόξα. Ἰδιόμελον.
Ἦχος β'.

Ἱεραρχῶν τὸ θεῖον κειμήλιον, Πάτερ Ὅσιε, Σπυρίδων σοφὲ, σὺ ἐν ἀρεταῖς ἀναδείκνυσαι· ὅθεν τῆς Ἐκκλησίας προστάτης γενόμενος, Αἱρεσιάρχας ἐξώθησας· καὶ τοῦ Ἀρείου τὸ βλάσφημον, συνοδικῶς εἰς γῆν κατηδάφισας· διὸ θαυματουργῶν ἐν ἔργῳ καὶ λόγῳ, τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν. Εὐτρεπίζου Σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν, ὁ Κύριος ἡμῶν· ἀκούσατε ὄρη καὶ βουνοί, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας, ὅτι ἔρχεται Χριστός· ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

Ἀπολυτίκιον. Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας Διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια, διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Σπυρίδων, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἢ τὸ παρόν. Ἦχος ά.

Τῆς Συνόδου τῆς πρώτης ἀνεδείχθης ὑπέρμαχος, καὶ Θαυματουργὸς Θεοφόρε Σπυρίδων Πατὴρ ἡμῶν· διὸ νεκρᾷ σὺ ἐν τάφῳ προσφωνεῖς, καὶ ὄφιν εἰς χρυσοῦν μετέβαλες· καὶ ἐν τῷ μέλπειν τὰς ἁγίας σου εὐχάς, Ἀγγέλους ἔσχες συλλειτουργοῦντάς σοι Ἱερώτατε· δόξα τῷ σὲ δοξάσαντι· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῷ πόθῳ τρωθεὶς Χριστοῦ Ἱερώτατε, τὸν νοῦν πτερωθεὶς τῇ αἴγλῃ τοῦ Πνεύματος, πρακτικῇ θεωρίᾳ τὴν πρᾶξιν εὗρες θεόληπτε, θυσιαστήριον θεῖον γενόμενος, αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος δ'.

Ὅσιε Πάτερ, Ἱεράρχα ἀοίδιμε, Ἀποστολικῆς Διδασκαλίας, γενόμενος ἔμπλεως, καὶ τοῦ θείου Πνεύματος καταγώγιον, δι' ἐναρέτου πολιτείας ἀναδειχθείς, τῆς Ἐκκλησίας τοὺς λύκους, διὰ δογμάτων ἀπήλασας· καὶ τὴν Ὀρθόδοξον πίστιν σαφῶς τρανώσας, στῦλος ἀναδείκνυσαι, καὶ εὐσεβείας πρόμαχος· ὅθεν καὶ θαυματουργῶν ἐν τοῖς πέρασιν, ὄφιν εἰς χρυσοῦν μετέβαλες, καὶ

νεκρὰν πρὸς ἐρώτησιν ἤγειρας· ἀλλ' ὦ Πατέρων ἀξιάγαστε, καὶ Διδασκάλων συνόμιλε, τὸν Σωτῆρα πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΤΗ ΚΥΡΙΑΚΗ.

Τῶν Ἁγίων Προπατόρων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄. Ἀνατολίου.

Τοὺς πρὸ τοῦ νόμου Πατέρας, ἅπαντας εὐφημήσωμεν σήμερον πιστοί, Ἀβραὰμ τὸν φιλόθεον, καὶ Ἰσαάκ, τὸν ἐξ ἐπαγγελίας τεχθέντα, καὶ Ἰακώβ, καὶ τοὺς δώδεκα Πατριάρχας, Δαυῒδ τὸν πρᾳότατον, καὶ Δανιήλ, τὸν ἐπιθυμιῶν Προφήτην, καὶ τοὺς τρεῖς Παῖδας, σὺν αὐτοῖς γεραίροντες, τοὺς τὴν κάμινον εἰς δρόσον μεταβαλόντας· αἰτούμενοι ἄφεσιν παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἐνδοξαζομένου ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Εἰς τὸν Στίχον. Δόξα. Γερμανοῦ. Ἦχος γ΄.

Τῶν Προπατόρων τὸ σύστημα, οἱ φιλέορτοι δεῦτε, ψαλμικῶς εὐφημήσωμεν, Ἀδὰμ τὸν Προπάτορα, Ἐνώχ, Νῶε, Μελχισεδέκ, Ἀβραάμ, Ἰσαάκ, καὶ Ἰακώβ· μετὰ νόμον, Μωϋσῆν, καὶ Ἀαρών, Ἰησοῦν, Σαμουήλ, καὶ Δαυῒδ· μεθ' ὧν τὸν Ἠσαΐαν, Ἱερεμίαν, Ἰεζεκιήλ, καὶ Δανιήλ, καὶ τοὺς δώδεκα· ἅμα Ἠλιοῦ, Ἐλισσαῖον καὶ τοὺς ἅπαντας, Ζαχαρίαν, καὶ τὸν Βαπτιστήν, καὶ τοὺς κηρύξαντας Χριστόν, τὴν ζωὴν καὶ Ἀνάστασιν τοῦ γένους ἡμῶν.

Ἀπολυτίκιον. Τῶν Προπατόρων.

Ἦχος β΄.

Ἐν πίστει τοὺς Προπάτορας ἐδικαίωσας, τὴν ἐξ Ἐθνῶν δι' αὐτῶν προμνηστευσάμενος Ἐκκλησίαν· καυχῶνται ἐν δόξῃ οἱ Ἅγιοι, ὅτι ἐκ σπέρματος αὐτῶν, ὑπάρχει καρπὸς εὐκλεής, ἡ ἀσπόρως τεκοῦσά σε· ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β'.

Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες, ἀλλ' ἀγράφῳ οὐσίᾳ θωρακισθέντες, τρισμακάριοι ἐν τῷ σκάμματι τοῦ πυρὸς ἐδοξάσθητε· ἐν μέσῳ δὲ φλογὸς ἀνυποστάτου ἱστάμενοι, Θεὸν ἐπεκαλεῖσθε. Τάχυνον ὦ οἰκτίρμον, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Εἰς τοὺς Αἴνους. Δόξα. Γερμανοῦ. Ἦχος βαρύς.

Δεῦτε ἅπαντες πιστῶς πανηγυρίσωμεν, τῶν πρὸ νόμου Πατέρων, Ἀβραάμ, καὶ τῶν σὺν αὐτῶν τὴν ἐτήσιον μνήμην· τοῦ Ἰούδα τὴν φυλήν, ἀξίως τιμήσωμεν· τοὺς ἐν Βαβυλῶνι Παῖδας, τοὺς σβέσαντας τὴν ἐν καμίνῳ φλόγα, ὡς τῆς Τριάδος τύπον, σὺν τῷ Δανιὴλ εὐφημήσωμεν· τῶν Προφητῶν τὰς προῤῥήσεις ἀσφαλῶς κατέχοντες μετὰ τοῦ Ἠσαΐου, μεγαλοφώνως βοήσωμεν· Ἰδοὺ ἡ Παρθένος, ἐν γαστρὶ λήψεται, καὶ τέξεται Υἱόν, τὸν Ἐμμανουήλ, ὅ ἐστι, μεθ' ἡμῶν ὁ Θεός.

ΕΙΣ ΤΗΝ ΙΖ'. ΔΕΚΕΜΒΡΙΟΥ.

Τῶν Ἁγίων τριῶν Παίδων, Ἀνανίȣ, Ἀζαρίȣ, καὶ Μισαήλ. Καὶ τοῦ Ἁγίου Προφήτου Δανιήλ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'. Ἀνατολίου.

Πνευματικῶς ἡμᾶς πιστοί, συνήγαγε σήμερον, ὁ Προφήτης Δανιήλ· καὶ τράπεζαν προτίθησιν, ἀρετῶν δαψιλῶς, πλουσίοις, καὶ πένησι, καὶ ξένοις, καὶ αὐτόχθοσι, κρατῆρα νοητόν, προχέοντα νᾶμα εὐσεβείας, καὶ εὐφραίνοντα καρδίας πιστῶν, καὶ Πνεύματος Ἁγίȣ, χάριν παρέχοντα· Οὗτος γὰρ ὁ Προφήτης, ὁ φανώτατος λύχνος, ὁ λάμψας ἐν τῷ Κόσμῳ, τὰ σεβάσματα πάντα τῶν Ἀσσυρίων καθεῖλε, καὶ θηρῶν ἀτιθάσσων, στόματα ἔφραξε· Σὺν τούτῳ, καὶ οἱ τρεῖς Παῖδες εὐφημείσθωσαν, οὐ χρυσοῖ τῇ φύσει ὄντες, καὶ χρυσίου δοκιμώτεροι δειχ-

νύμενοι· οὐ γὰρ ἐχώνευσεν αὐτοὺς τὸ πῦρ τῆς καμίνου, ἀλλ' ἐφύλαξεν ἀκεραίους, οὓς νάφθη καὶ πίσσα, καὶ κληματίδες ἔστρεψαν. Ὁ δὲ ἀγαγὼν ἡμᾶς, εἰς τὴν περίοδον τοῦ χρόνου Κύριος, ἀξιῶσαι ἡμᾶς φθάσαι, καὶ ἐπὶ τὴν κυρίαν, καὶ σεβασμίαν ἡμέραν τῶν Γενεθλίων Χριστοῦ, τοῦ παρέχοντος ἡμῖν, ταῖς αὐτῶν ἱκεσίαις, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Δεῦτε ἅπαντες Χριστοῦ τὰ Γενέθλια, πιστῶς προεορτάσωμεν· καὶ νοητῶς τὸν ὕμνον, ὡς ἀστέρα προβαλλόμενοι, μαγικὰς δοξολογίας, μετὰ Ποιμένων βοήσωμεν· ἦλθεν ἡ σωτηρία τῶν βροτῶν, ἐκ Παρθενικῆς νηδύος, βροτοὺς ἀνακαλούμενος.

Εἰς τὸν Στίχον. Δόξα. Τῶν Ἁγίων. Ἦχος πλ. β'.

Ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως, ἐν μέσῳ τῆς καμίνου τοῦ πυρός, τὸν παγκόσμιον ὕμνον ἐμελῳδήσατε, Παῖδες τρισόλβιοι· καὶ τῆς φωνῆς ὑμῶν εἰσήκουσεν ὁ ὢν ἐγγὺς Κύριος, τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώζων· καὶ διατηρήσας ἀσινεῖς, προσεδέξατο ὑμᾶς, ὡς θυσίαν καθαράν· διὸ ἀπόγονοι Ἀβραὰμ τυγχάνοντες, Παῖδες Θεοῦ γενέσθαι ἠξιώθητε. Παῤῥησίαν οὖν ἔχοντες πρὸς αὐτόν, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν, λίθον ἄνευ χειρὸς τμηθέντα, θεωρήσας σε Κύριε, βρέφος ἄνευ σπορᾶς, τεχθέντα προηγόρευσε, σὲ τὸν ἐκ Παρθένου σαρκωθέντα Λόγον, τὸν ἀναλλοίωτον Θεόν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος β'.

Μεγάλα τὰ τῆς Πίστεως κατορθώματα· ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, οἱ Ἅγιοι τρεῖς Παῖδες ἠγάλλοντο, καὶ ὁ Προφήτης Δανιήλ, λεόντων ποιμὴν ὡς προβάτων ἐδείκνυτο. Ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Κοντάκιον. Ἦχος β΄.

Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες, ἀλλ' ἀγράφῳ οὐσίᾳ θωρακισθέντες, τρισμακάριοι, ἐν τῷ σκάμματι τοῦ πυρὸς ἐδοξάσθητε· ἐν μέσῳ δὲ φλογὸς ἐνυποστάτου ἱστάμενοι, Θεὸν ἐπικαλεῖσθε. Τάχυνον ὦ οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

ΤΗ ΚΥΡΙΑΚΗ

Πρὸ τῆς Χριστοῦ Γεννήσεως, καὶ τῶν Ἁγίων Πατέρων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄.

Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν, λίθον ἄνευ χειρὸς τμηθέντα, θεωρήσας σε, Κύριε, βρέφος ἄνευ σπορᾶς, τεχθέντα προηγόρευσε, σὲ τὸν ἐκ Παρθένου σαρκωθέντα Λόγον, τὸν ἀναλλοίωτον Θεὸν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Σπήλαιον εὐτρεπίζȣ· ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα τῆς ἀλόγου πράξεως, ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτὸν, καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ Σμύρναν, τῷ Βασιλεῖ, προσάξατε· ὅτι ὤφθη Κύριος, ἐκ Παρθένου Μητρός· ὅνπερ καὶ κύψασα, δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· πῶς ἐνεσπάρης μοι; ἢ πῶς μοι ἐνεφύης, ὁ λυτρωτής μȣ καὶ Θεός.

Εἰς τὸν Στίχον. Δόξα. Κυπριανοῦ. Ἦχος β΄.

Χαίρετε Προφῆται τίμιοι, οἱ τὸν νόμον Κυρίου καλῶς διαταξάμενοι, καὶ τῇ Πίστει φανέντες, ἀπόῤῥητοι στύλοι ἀκλινεῖς· ὑμεῖς γὰρ καὶ μεσῖται ὤφθητε, τῆς Νέας Διαθήκης Χριστοῦ· καὶ μεταστάντες πρὸς Οὐρανὸν, αὐτὸν ἱκετεύσατε, εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν. Εὐτρεπίζου Σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν· ἀκούσατε ὄρη καὶ βουνοὶ, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας, ὅτι ἔρχεται Χριστός· ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

Ἀπολυτίκιον. Ἦχος β'.

Μεγάλα τὰ τῆς Πίστεως κατορθώματα· ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, οἱ Ἅγιοι τρεῖς Παῖδες ἠγάλλοντο, καὶ ὁ Προφήτης Δανιὴλ, λεόντων ποιμὴν ὡς προβάτων ἐδείκνυτο. Ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.

Κοντάκιον. Ἦχος β'.

Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες, ἀλλ' ἀγράφῳ οὐσίᾳ θωρακισθέντες, τρισμακάριοι, ἐν τῷ σκάμματι τοῦ πυρὸς ἐδοξάσθητε· ἐν μέσῳ δὲ φλογὸς ἀνυποστάτου ἱστάμενοι, Θεὸν ἐπεκαλεῖσθε. Τάχυνον ὦ οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Τῶν νομικῶν διδαγμάτων ὁ σύλλογος, τὴν ἐν σαρκὶ ἐμφανίζει, τοῦ Χριστοῦ θείαν Γέννησιν, τοὺς πρὸ τοῦ Νόμου τὴν χάριν εὐαγγελιζομένους ὡς ὑπὲρ Νόμου τῇ Πίστει ὑπάρξαντας· ὅθεν τῆς φθορᾶς ἀπαλλαγὴν οὖσαν πρόξενον, ταῖς ἐν Ἅδῃ κατεχομέναις ψυχαῖς προεκήρυττον, διὰ τῆς Ἀναστάσεως, Κύριε δόξασει.

ΕΙΣ ΤΗΝ Κ'. ΔΕΚΕΜΒΡΙΟΥ.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰγνατίου τοῦ Θεοφόρου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ'. Ἀνατολίου.

Θεοφόρε Ἰγνάτιε, τὸν σὸν ἔρωτα Χριστὸν ἐνστερνισάμενος, μισθὸν ἐκομίσω, τῆς Ἱερουργίας τοῦ Εὐαγγε-

λίου τοῦ Χριστοῦ, τὸ τελειωθῆναι δι' αἵματος· διὸ σῖτος γενόμενος τοῦ ἀθανάτου Γεωργοῦ, δι' ὀδόντων θηρίων ἠλέσθης, καὶ ἄρτος ἡδὺς αὐτῷ ἀνεδείχθης· πρέσβευε ὑπὲρ ἡμῶν, Ἀθλητὰ μακάριε.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Ὑπόδεξαι Βηθλεέμ, τὴν τοῦ Θεοῦ Μητρόπολιν· φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσαι ἥκει· Ἄγγελοι θαυμάσατε ἐν Οὐρανῷ· ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς· Μάγοι ἐκ Περσίδος, τὸ τρισόκλεον δῶρον προσκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τὸν Τρισάγιον ὕμνον μελῳδήσατε, πᾶσα πνοὴ, αἰνεσάτω τὸν παντουργέτην.

Εἰς τὸν Στίχον. Δόξα. Τοῦ Ἁγίου. Ἦχος ά.

Ὢ τῆς στεῤῥᾶς καὶ ἀδαμαντίνου σου ψυχῆς, ἀξιομακάριστε Ἰγνάτιε· σὺ γὰρ πρὸς τὸν ὄντως σὸν ἐραστὴν, ἀνένδοτον ἔχων τὴν ἔφεσιν, ἔλεγες· οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλόϋλον, ὕδωρ δὲ μᾶλλον ζῶν, καὶ λαλοῦν ἐν ἐμοὶ, ἔνδον μοι λέγον· δεῦρο πρὸς τὸν Πατέρα· ὅθεν θείῳ Πνεύματι πυρπολούμενος, θῆρας ἠρέθισας, Κόσμου σε θᾶττον χωρίσαι, καὶ πρὸς τὸν ποθούμενον παραπέμψαι Χριστόν· ὃν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἦχος β΄. Κυπριανοῦ.

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν. Εὐτρεπίζου Σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν· Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν· ἀκούσατε ὄρη καὶ βουνοὶ, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας, ὅτι ἔρχεται Χριστός· ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

Ἀπολυτίκιον. Προεόρτιον. Ἦχος δ΄.

Ἑτοιμάζȣ Βηθλεέμ, ἤνοικται πᾶσιν ἡ Ἐδέμ· εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένȣ. Παράδεισος καὶ γὰρ, ἡ ἐκείνης γαστὴρ, ἐδείχθη νοητὸς, ἐν ᾧ τὸ θεῖον φυτόν· ἐξ οὗ φαγόντες ζήσωμεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

Καὶ τοῦ Ἁγίου. Ἦχος ὁ αὐτός.

Καὶ τρόπων μέτοχος, καὶ θρόνου διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Ἰγνάτιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Προεόρτιον. Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀποῤῥήτως· χόρευε ἡ Οἰκουμένη ἀκουτισθεῖσα· δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων· βουληθέντα ἐποφθῆναι, παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Καὶ τοῦ Ἁγίου. Ἦχος ὁ αὐτός. Ἡ Παρθένος σήμερον.


Τῶν λαμπρῶν ἀγώνων σου, ἡ φωτοφόρος ἡμέρα, προκηρύττει ἅπασι, τὸν ἐκ Παρθένου τεχθέντα· τοῦτον γὰρ διψῶν ἐκ πόθου κατατρυφῆσαι, ἔσπευσας ὑπὸ θηρίων ἀναλωθῆναι· διὰ τοῦτο καὶ Θεοφόρος προσηγορεύθης, Ἰγνάτιε ἔνδοξε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β΄.

Ἐγγίζει ὁ Χριστός, Βηθλεὲμ προετοιμάζου, ἤδη τῶν Ἐθνῶν, τὸ σωτήριον αὐγάζει· εὐτρέπισον τὴν Φάτνην, τοὺς Ποιμένας συνάγαγε· κάλεσον τοὺς Μάγους ἐκ Περσίδος· αἱ Στρατιαὶ τῶν ἀσωμάτων, Νοῶν κράζουσιν· ὁ Βασιλεὺς τῶν Οὐρανῶν, Χριστὸς παραγίνεται.

Καὶ νῦν. Ὅμοιον.

Ζῆλός τε καὶ πῦρ, καταφάγεταί σε ἄφρον, πλάνε ἀληθῶς, καὶ τοῦ Νόμου συκοφάντα· ἰδοὺ γὰρ ἡ Παρθένος, Ἠσαΐας ὡς ἔφησεν, ἔσχεν ἐν γαστρὶ καὶ ἐπὶ φάτνης, ἀνακλινεῖ τὸν Βασιλέα· διὸ ἅπαντες, οἱ ἐξ Ἰούδα τῆς φυλῆς, Δυνάσται ἐκλείψουσιν.



ΕΙΣ ΤΗΝ ΚΓ΄. ΔΕΚΕΜΒΡΙΟΥ.

Τῶν Ἁγίων Δέκα Μαρτύρων τῶν ἐν Κρήτῃ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Τῶν Ἁγίων. Ἰδιόμελον. Κυπριανοῦ.
Ἦχος β΄.

Κρήτη προεορτάζει σήμερον, τὰ Γενέθλια Χριστοῦ, ἐν τῇ μνήμῃ τῶν Ἀθλοφόρων· διὸ εὐχαῖς αὐτῶν Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Βηθλεὲμ γῆ Ἰȣδα, τὸ κατὰ σάρκα πολίτευμα, φαιδρῶς εὐτρέπισον τὸ θεῖον Σπήλαιον, ἐν ᾧ Χριστὸς σαρκὶ τίκτει, ἐξ ἀπειράνδρου ἁγίας Παρθένου, εἰς τὸ σῶσαι τὸ γένος ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος γ΄.

Προεόρτιος σήμερον, ἡ τῶν Μαρτύρων ἐπέστη Ἑορτή, τὴν γενέθλιον ἡμῖν, προϋπογράφουσα ἡμέραν· τὸν ἐξ ἡλίου Ἥλιον τὸν ἐκ τῆς Παρθένου, Θεὸν ἐπιφανέντα σαρκὶ, ἀνακηρύττουσα· δεκὰς Μαρτύρων ἐν Κρήτῃ γεῤῥῶς ἀθλήσασα, τοὺς στεφάνους τῆς νίκης ἐξ Οὐρανοῦ ἐδέξαντο· πρὸς οὓς βοήσωμεν· χορὸς ἁγιόλεκτος, ἱκετεύσατε Χριστὸν Ἅγιε Μάρτυρες, ὑπὲρ τῶν πίστει τελούντων τὴν πάνσεπτον μνήμην ὑμῶν.

Καὶ νῦν, Προεόρτιον· Ἀνατολίου. Ἦχος ὁ αὐτός.

Εὐτρεπίζȣ Βηθλεέμ· ἤνοικται γὰρ ἡ Ἐδέμ· ἑτοιμάζου Ἐφραθᾶ· ἀνανεοῦται γὰρ ὁ Ἀδὰμ, καὶ ἡ Εὔα σὺν αὐτῷ· ἡ κατάρα γὰρ λέλυται, ἡ σωτηρία ἐν Κόσμῳ ἐξήνθησε· καὶ ψυχαὶ τῶν δικαίων εὐτρεπίζονται, ὡς προῖκα δωροφορίας, ἀντὶ μύρου τὸν ὕμνον προσάγουσαι, σωτηρίαν ψυχικὴν, καὶ ἀφθαρσίαν κομιζόμεναι· ἰδοὺ γὰρ ἐν φάτνῃ ἀνακείμενος, προτρέπει ὑμνῳδίαν πνευματικὴν ἐπιτελέσαι, τοὺς βοῶντας ἀπαύστως, Κύριε δόξα σοι.

Ἀπολυτίκιον. Τὸ Προεόρτιον. Καὶ τῶν Ἁγίων.
Ἦχος δ'.

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο, τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχοντες τὴν ἰσχύν σου, τοὺς Τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση· αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον τῶν Ἁγίων. Ἐπεφάνης. Ἦχος δ'.

Ἑωσφόρος ἔλαμψεν, ἡ τῶν Μαρτύρων, σεβασμία ἄθλησις, προκαταυγάζουσα ἡμῖν, τὸν ἐν Σπηλαίῳ τικτόμενον, ὃν ἡ Παρθένος, ἀσπόρως ἐκύησεν.

Εἰς τοὺς Αἴνους. Δόξα. Αἱ Ἀγγελικαί.
Ἦχος πλ. β'.

Ψάλλει ὁ καινός, Ἰσραὴλ τὸ καινὸν ᾆσμα, ᾄδων τὴν ᾠδήν, τὴν οὐράνιον ἐκείνην· εὐφράνθητι καὶ τέρπου, καὶ ἀγάλλου καὶ χόρευε, ἄγε δὴ φαιδρῶς τὰς ἑορτάς σου, ὁ ἐκ Θαιμὰν Θεὸς σαρκὶ ἐφάνη· αὐτὸς μέλλει δέ, ἐν Ἰορδάνου ταῖς ῥοαῖς, λουσθῆναι ὡς ἄνθρωπος.

Καὶ νῦν. Ὁ αὐτός.

Ὤφθης ἐπὶ γῆς, καὶ βροτοῖς συνανεστράφης. Καίσαρος θεσμοῖς, σὺν τοῖς δούλοις ἀπεγράφης, ἐπλάσθης, οὐκ ἐτράπης, ἀναλλοίωτος ἔμεινας, ὅλος ὢν Θεός, κᾂν ἐσαρκώθης· δόξα τῇ σῇ Οἰκονομίᾳ, τιμὴ αἴνεσις, μεγαλοπρέπεια καὶ νῦν, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εἰς τὸν Στίχον. Τῶν Αἴνων. Δόξα. Ἦχος γ'.

Γενναῖοι Μάρτυρες ἀληθείας, ὑμᾶς οὐ βία Τυραννική, οὐ θωπεία ἀπατηλή, οὐ μελῶν ἐκκοπαί, οὐδὲ θανάτου ἀπειλαὶ τῆς πρὸς τὸ θεῖον ἀγάπης, χωρίσαι δεδύνηνται· διὸ παῤῥησίαν ἔχοντες πρὸς Χριστὸν τὸν ἐπὶ πάντων Θεόν, ταύτην ἀμοιβὴν τῶν ἀλγεινῶν βασάνων αἰτήσασθε, παρὰ Χριστοῦ, λαβεῖν εὐχαῖς ὑμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Προεόρτιον. Ἀνατολίου. Ἦχος πλ. δ'.

Ἐν Βηθλεὲμ γεννᾶται, ὁ τοῦ παντὸς Ποιητής, καὶ τὴν Ἐδὲμ ἀνοίγει, ὁ πρὸ αἰώνων Βασιλεύς· ἡ φλογίνη

ῥομφαία τὰ νῶτα δίδωσι· τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται· αἱ οὐράνιαι Δυνάμεις, σὺν τοῖς ἐπὶ γῆς ἀναμίγνυνται. Ἄγγελοι σὺν τοῖς ἀνθρώποις, κραταιὰν πανήγυριν συγκροτοῦσιν· οἱ καθαροὶ τῷ καθαρῷ προσενεγκάμενοι, ἴδωμεν τὴν Παρθένον, ὡς θρόνον δόξης Χερουβικὸν χωρήσασαν, τὸν μηδαμοῦ χωρούμενον Θεὸν, καὶ βαστάζουσαν, ὃν τὰ Χερουβὶμ μετὰ φόβου βαστάζουσιν· ὅπως παρέξῃ τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

ΕΙΣ ΤΗΝ ΚΔ΄. ΔΕΚΕΜΒΡΙΟΥ.

Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν.

Ω Ρ Α Π Ρ Ω Τ Η.

Τροπάριον. Ἦχος δ΄.

Ἀπεγράφετο ποτὲ, σὺν τῷ πρεσβύτῃ Ἰωσὴφ, ὡς ἐκ σπέρματος Δαυὶδ, ἐν Βηθλεὲμ ἡ Μαριὰμ, κυοφοροῦσα τὴν ἄσπορον κυοφορίαν· ἐπέστη δὲ καιρὸς ὁ τῆς Γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι· ἀλλ᾿ ὡς τερπνὸν παλάτιον, τὸ Σπήλαιον τῇ Βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων Εἰκόνα.

Ἰδιόμελα. Ἦχος πλ. δ΄.

Βηθλεὲμ ἑτοιμάζου, εὐτρεπιζέσθω ἡ φάτνη· τὸ σπήλαιον δεχέσθω· ἡ ἀλήθεια ἦλθεν, ἡ σκιὰ παρέδραμε· καὶ Θεὸς ἀνθρώποις ἐκ Παρθένου πεφανέρωται, μορφωθεὶς τὸ καθ᾿ ἡμᾶς, καὶ θεώσας τὸ πρόσλημμα· διὸ Ἀδὰμ ἀνανεοῦται, σὺν τῇ Εὔᾳ κράζοντες· ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν. Ἦχος γ΄.

Νῦν προφητικὴ πρόῤῥησις, πληρωθῆναι ἐπείγεται, μυστικῶς ἡ φάσκουσα· καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ὑπάρχεις ἐλαχίστη ἐν τοῖς Ἡγεμόσι, προευτρεπίζουσα τὸ σπήλαιον· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται Ἡγούμενος τῶν Ἐθνῶν διὰ σαρκὸς, ἐκ Παρθένου Κόρης Χριστὸς ὁ Θεὸς, ὃς ποιμανεῖ τὸν Λαὸν αὐτοῦ, τὸν Νέον Ἰσραήλ· δῶμεν αὐτῷ ἅπαντες μεγαλωσύνην.

Δόξα, Ἦχος πλ. δ΄.

Τάδε λέγει Ἰωσὴφ πρὸς τὴν Παρθένον· Μαρία, τί τὸ δρᾶμα τοῦτο, ὃ ἐν σοὶ τεθέαμαι; ἀπορῶ καὶ ἐξίσαμαι, καὶ τὸν νοῦν καταπλήττομαι· λάθρα τοίνυν ἀπ' ἐμοῦ γενοῦ ἐν τάχει. Μαρία, τί τὸ δρᾶμα τοῦτο, ὃ ἐν σοὶ τεθέαμαι; ἀντὶ τιμῆς αἰσχύνην, ἀντ' εὐφροσύνης τὴν λύπην, ἀντὶ τοῦ ἐπαινεῖσθαι, τὸν ψόγον μοι προσήγαγες; οὐκ ἔτι φέρω λοιπὸν τὸ ὄνειδος ἀνθρώπων· ὑπὸ γὰρ Ἱερέων ἐκ τοῦ Ναοῦ, ὡς ἄμεμπτον Κυρίου, σὲ παρέλαβον· καὶ τί τὸ ὁρώμενον;

Καὶ νῦν. Τὸ αὐτό. Κοντάκιον.

Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀποῤῥήτως· χόρευε ἡ Οἰκουμένη ἀκουτισθεῖσα· δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων· βουληθέντα ἐποφθῆναι, παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

ΩΡΑ ΤΡΙΤΗ.

Τροπάριον. Ἦχος δ΄.

Ἀπεγράφετο ποτέ, σὺν τῷ πρεσβύτῃ Ἰωσήφ, ὡς ἐκ σπέρματος Δαυῒδ, ἐν Βηθλεὲμ ἡ Μαριάμ, κυοφορῦσα τὴν ἄσπορον κυοφορίαν· ἐπέστη δὲ καιρὸς ὁ τῆς Γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι· ἀλλ' ὡς τερπνὸν παλάτιον, τὸ σπήλαιον τῇ Βασιλίδι ἐδείκνυτο. Χριςὸς γεννᾶται, τὴν πρὶν πεσῦσαν, ἀναστήσων Εἰκόνα.

Ἰδιόμελα. Ἦχος πλ. β΄.

Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν, ὁ τεχθεὶς ἐκ Παρθένου, καὶ τοῖς ἀνθρώποις συναναστραφείς. Φάτνῃ πενιχρᾷ Υἱὸς μονογενής, κείμενος ὁρᾶται βροτὸς, καὶ σπαργάνοις πλέκεται ὁ τῆς δόξης Κύριος· καὶ Μάγους ἀστὴρ μηνύει, εἰς αὐτῦ προσκύνησιν, καὶ ἡμεῖς μελῳδοῦμεν· Τριὰς Ἁγία σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. δ'.

Πρὸ τῆς Γεννήσεως τῆς σῆς, τρόμῳ ὁρῶσαι τὸ Μυστήριον Κύριε, αἱ νοεραὶ ϛρατιαὶ κατεπλήττοντο· ὡς δὲ βρέφος νηπιάσαι ηὐδόκησας, ὁ τὸν Πόλον κοσμήσας τοῖς ἄστρασι· καὶ τῇ φάτνῃ τῶν ἀλόγων ἀνακέκλισαι, ὁ δρακὶ συνέχων πάντα γῆς τὰ πέρατα· τοιαύτη γὰρ Οἰκονομία, ἐγνώσθη σȣ ἡ εὐσπλαγχνία, Χριστὲ τὸ μέγα ἔλεος, δόξα σοι.

Δόξα. Ἦχος γ'.

Ἰωσὴφ εἰπὲ ἡμῖν, πῶς ἐκ τῶν Ἁγίων, ἣν παρέλαβες Κόρην, ἔγκυον φέρεις ἐν Βηθλεὲμ; ἐγὼ φησι, τοὺς Προφήτας ἐρευνήσας, καὶ χρηματισθεὶς ὑπὸ Ἀγγέλου, πέπεισμαι, ὅτι Θεὸν γεννήσει ἡ Μαρία ἀνερμηνεύτως· οὗ εἰς προσκύνησιν, Μάγοι ἐξ ἀνατολῶν ἥξουσι, σὺν δώροις τιμίοις λατρεύοντες· ὁ σαρκωθεὶς δι' ἡμᾶς, Κύριε δόξα σοι.

Καὶ νῦν. Τὸ αὐτό. Κοντάκιον. Ἦχος γ'.

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως· χόρευε ἡ Οἰκουμένη ἀκουτισθεῖσα· δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων· βουληθέντα ἐποφθῆναι, παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

ΩΡΑ ΕΚΤΗ

Τροπάριον. Ἦχος δ'.

Ἀπεγράφετό ποτε, σὺν τῷ πρεσβύτῃ Ἰωσήφ, ὡς ἐκ σπέρματος Δαυΐδ, ἐν Βηθλεὲμ ἡ Μαριάμ, κυοφορȣ̃σα τὴν ἄσπορον κυοφορίαν· ἐπέστη δὲ καιρὸς ὁ τῆς Γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι· ἀλλ' ὡς τερπνὸν παλάτιον, τὸ Σπήλαιον τῇ Βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων Εἰκόνα.

Ἰδιόμελα. Ἦχος α'.

Δεῦτε πιστοὶ ἐπαρθῶμεν ἐνθέως, καὶ κατίδωμεν συγκατάβασιν θεϊκὴν ἄνωθεν, ἐν Βηθλεὲμ πρὸς ἡμᾶς ἐμ-

φανῶς· καὶ νοῦν καθαρθέντες, τῷ βίῳ προσενέγκωμεν, ἀρετὰς ἀντὶ μύρου, προευτρεπίζοντες πιστῶς, τῶν Γενεθλίων τὰς εἰσόδους, ἐπὶ τῶν ψυχικῶν θησαυρισμάτων κράζοντες· ἐν ὑψίστοις δόξα Θεῷ ἐν Τριάδι· δι' οὗ ἐν ἀνθρώποις εὐδοκία ἐπεφάνη, τὸν Ἀδὰμ ἐκλυτρούμενος, τῆς ἀρχεγόνου ἀρᾶς ὡς φιλάνθρωπος.

Ἦχος δ'.

Ἄκουε Οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ· σαλευθήτω τὰ θεμέλια, ἐπιλαβέτω τρόμος τὰ καταχθόνια· ὅτι ὁ Θεός τε καὶ Κτίστης, σαρκὸς εἰσέδυ πλάσιν· καὶ ὁ κραταιᾷ κτίσας χειρὶ τὴν Κτίσιν, σπλάγχνων ὁρᾶται πλάσματος· ὢ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

Δόξα. Ἦχος πλ. ά.

Δεῦτε Χριστοφόροι λαοὶ κατίδωμεν, θαῦμα πᾶσαν ἔννοιαν, ἐκπλῆττον καὶ συνέχον· καὶ εὐσεβῶς προσκυνοῦντες, πίστει ἀνυμνήσωμεν. Σήμερον πρὸς τὴν Βηθλεὲμ, ἐγκυμονοῦσα Κόρη παραγίνεται, τοῦ γεννῆσαι τὸν Κύριον· χοροὶ δὲ Ἀγγέλων προτρέχουσι· καὶ ταῦτα βλέπων, ἐβόα Ἰωσὴφ ὁ Μνήστωρ· τί τὸ ἐν σοὶ ξένον Μυστήριον Παρθένε; καὶ πῶς μέλλεις λοχεῦσαι, ἡ ἀπειρόζυγος Δάμαλις;

Καὶ νῦν. Τὸ αὐτό. Κοντάκιον. Ἦχος γ'.

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀποῤῥήτως· χόρευε ἡ Οἰκουμένη ἀκουτισθεῖσα· δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων· βουληθέντα ἐποφθῆναι, παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

ΩΡΑ ΕΝΝΑΤΗ.

Τροπάριον. Ἦχος δ'.

Ἀπεγράφετο ποτὲ, σὺν τῷ πρεσβύτῃ Ἰωσὴφ, ὡς ἐν σπέρματος Δαυῒδ, ἐν Βηθλεὲμ ἡ Μαριὰμ, κυοφοροῦσα

τὴν ἄσπορον κυοφορίαν· ἐπέστη δὲ καιρὸς ὁ τῆς Γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι· ἀλλ' ὡς τερπνὸν παλάτιον, τὸ Σπήλαιον τῇ Βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων Εἰκόνα.

Ἰδιόμελα. Ἦχος βαρύς.

Ἐξεπλήττετο ὁ Ἡρώδης, ὁρῶν τῶν Μάγων τὴν εὐσέβειαν· καὶ τῷ θυμῷ νικώμενος, τοῦ ἔτους ἠκριβολόγει τὸ διάστημα. Μητέρες ἠτεκνοῦντο, καὶ ἡ ἄωρος ἡλικία τῶν βρεφῶν, πικρῶς κατεθερίζετο· μαζοὶ ἐξηραίνοντο, καὶ πόροι γάλακτος συνεστέλλοντο· μέγα ἦν τὸ δεινόν· διὸ εὐσεβῶς Πιστοὶ συνελθόντες, προσκυνήσωμεν τοῦ Χριστοῦ τὴν Γέννησιν.

Ἦχος β'.

Ὅτε Ἰωσήφ, Παρθένε λύπῃ ἐτιτρώσκετο, πρὸς Βηθλεὲμ ἀπαίρων, ἐβόας πρὸς αὐτόν· τί ὁρῶν με ἔγκυον, στυγνάζεις καὶ ταράττεσαι, ἀγνοῶν ὅλως τὸ ἐν ἐμοὶ φρικτὸν Μυστήριον; λοιπὸν ἀπόθου φόβον ἅπαντα, τὸ παράδοξον ἐννοῶν. Θεὸς κάτεισι γὰρ ἐπὶ γῆς δι' ἔλεον, ἐν τῇ μήτρᾳ μου νῦν, καὶ σάρκα προσελάβετο· ὅν περ τικτόμενον ὄψει ὡς ηὐδόκησε, καὶ τῆς χαρᾶς πλησθείς, προσκυνήσεις ὡς Κτίστην σου· ὃν Ἄγγελοι ὑμνοῦσιν ἀπαύστως, καὶ δοξάζουσι, σὺν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι.

Δόξα Πατρί.

Ἀναγινώσκεται πρῶτον μεγαλοφώνως ἐν τῷ μέσῳ τοῦ Ναοῦ, εἶτα ψάλλεται ὑπὸ τῶν δύο Χορῶν.

Ἦχος πλ. β'.

Σήμερον γεννᾶται ἐκ Παρθένου, ὁ δρακὶ τὴν πᾶσαν ἔχων Κτίσιν. Ῥάκει καθάπερ βροτὸς σπαργανοῦται, ὁ τῇ οὐσίᾳ ἀναφής. Θεὸς ἐν Φάτνῃ ἀνακλίνεται, ὁ στερεώσας τὰς Οὐρανὰς πάλαι καταρχάς. Ἐκ μαζῶν γάλα τρέφεται, ὁ ἐν τῇ ἐρήμῳ Μάννα ὀμβρίσας τῷ λαῷ. Μάγους προσκαλεῖται, ὁ Νυμφίος τῆς Ἐκκλησίας. Δῶρα τούτων αἴρει, ὁ Υἱὸς τῆς Παρθένου. Προσκυνοῦμέν σου τὴν γένναν Χριστέ. Δεῖξον ἡμῖν, καὶ τὰ θεῖά σου Θεοφάνεια.

Καὶ νῦν. Τὸ αὐτό. Κοντάκιον. Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀποῤῥήτως· χόρευε ἡ Οἰκουμένη ἀκουτισθεῖσα· δόξαν μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων· βουληθέντα ἐποφθῆναι, παιδίον νέον, τὸν πρὸ αἰώνων Θεον.

ΕΙΣ ΤΗΝ ΚΕ΄. ΔΕΚΕΜΒΡΙΟΥ.

Ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος β΄. Κασίας.

Αὐγούστου μοναρχήσαντος ἐπὶ τῆς γῆς, ἡ πολυαρχία τῶν ἀνθρώπων ἐπαύσατο· καὶ σοῦ ἐνανθρωπήσαντος ἐκ τῆς Ἁγνῆς, ἡ πολυθεΐα τῶν εἰδώλων κατήργηται· ὑπὸ μίαν Βασιλείαν ἐγκόσμιον, αἱ πόλεις γεγένηνται· καὶ εἰς μίαν Δεσποτείαν Θεότητος, τὰ ἔθνη ἐπίστευσαν· ἀπεγράφησαν οἱ Λαοὶ, τῷ δόγματι τοῦ Καίσαρος· ἐπεγράφημεν οἱ πιστοὶ, ὀνόματι Θεότητος, σοῦ τοῦ ἐνανθρωπήσαντος Θεοῦ ἡμῶν. Μέγα σου τὸ ἔλεος, Κύριε δόξα σοι.

Εἰς τὸν Στίχον. Δόξα. Ἰωάννου Μοναχοῦ Ἦχος δ΄.

Εὐφράνθητι Ἱερουσαλὴμ, καὶ πανηγυρίσατε πάντες οἱ ἀγαπῶντες Σιών· σήμερον ὁ χρόνιος ἐλύθη δεσμὸς τῆς καταδίκης τοῦ Ἀδάμ· ὁ Παράδεισος ἡμῖν ἠνεῴχθη, ὁ ὄφις κατηργήθη· ἣν γὰρ ἠπάτησε πρώην, νῦν ἐθεάσατο, τοῦ Δημιουργοῦ γενομένην Μητέρα· ὢ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ! ἡ προξενήσασα τὸν θάνατον πάσῃ σαρκὶ, τῆς ἁμαρτίας τὸ ὄργανον, σωτηρίας ἀπαρχὴ ἐγένετο τῷ Κόσμῳ παντὶ, διὰ τῆς Θεοτόκου· βρέφος γὰρ τίκτεται ἐξ αὐτῆς, ὁ παντέλειος Θεὸς, καὶ διὰ τοῦ τόκου, παρθενίαν σφραγίζει· σειρὰς ἁμαρτημάτων, λύων διὰ σπαργάνων, καὶ διὰ νηπιότητος, τῆς Εὔας θεραπεύει, τὰς ἐν λύπαις ὠδῖνας. Χορευέτω τοί-

νυν, πᾶσα ἡ Κτίσις καὶ σκιρτάτω· ἀνακαλέσαι γὰρ αὐτὴν, παραγέγονε Χριστὸς, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἦχος ὁ αὐτός. Ἀνατολίου.

Σπηλαίῳ παρῴκησας Χριστὲ ὁ Θεὸς, φάτνη σε ὑπεδέξατο, Ποιμένες καὶ Μάγοι προσεκύνησαν· τότε δὴ τῶν Προφητῶν ἐπληροῦτο τὸ κήρυγμα· καὶ Ἀγγέλων αἱ δυνάμεις, ἐθαύμαζον βοῶσαι καὶ λέγουσαι· δόξα τῇ συγκαταβάσει σου, μόνε φιλάνθρωπε.

Ἀπολυτίκιον. Ἦχος γ'.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ Κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν. Κύριε δόξα σοι.

Κοντάκιον. Ἦχος γ'.

Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει. Καὶ ἡ γῆ τὸ σπήλαιον, τῷ ἀπροσίτῳ προσάγει. Ἄγγελοι μετὰ Ποιμένων, δοξολογοῦσι. Μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι. Δι' ἡμᾶς γὰρ ἐγεννήθη, παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

Εἰς τοὺς Αἴνους. Δόξα. Γερμανοῦ. Ἦχος πλ. β'.

Ὅτε καιρὸς τῆς ἐπὶ γῆς παρουσίας σου, πρώτη ἀπογραφὴ τῇ Οἰκουμένῃ ἐγένετο· τότε ἔμελλες τῶν ἀνθρώπων ἀπογράψασθαι τὰ ὀνόματα, τῶν πιστευόντων τῷ τόκῳ σου· διὰ τοῦτο τὸ τοιοῦτον δόγμα, ὑπὸ Καίσαρος ἐξεφωνήθη· τῆς γὰρ αἰωνίου σου Βασιλείας, τὸ ἄναρχον ἐκαινουργήθη· διό σοι προσφέρομεν καὶ ἡμεῖς, ὑπὲρ τὴν Χρηματικὴν Φορολογίαν, Ὀρθοδόξου πλουτισμὸν Θεολογίας, τῷ Θεῷ καὶ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἰωάννου Μοναχοῦ. Ἦχος β'.

Σήμερον ὁ Χριστὸς ἐν Βηθλεὲμ γεννᾶται ἐκ Παρθένȣ. Σήμερον ὁ ἄναρχος ἄρχεται, καὶ ὁ Λόγος σαρκοῦται. Αἱ Δυνάμεις τῶν Οὐρανῶν ἀγάλλονται· καὶ ἡ γῆ σὺν τοῖς ἀνθρώποις εὐφραίνεται· Οἱ Μάγοι τὰ δῶρα

προσφέρουσι, οἱ Ποιμένες τὸ θαῦμα κηρύττουσιν. Ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

ΕΙΣ ΤΗΝ ΚϚ΄. ΔΕΚΕΜΒΡΙΟΥ.

Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη· σήμερον δέχεται ἡ Βηθλεέμ, τὸν καθήμενον διὰ παντὸς σὺν Πατρί· σήμερον Ἄγγελοι, τὸ βρέφος τὸ τεχθὲν, θεοπρεπῶς δοξολογοῦσι. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν.
Ἦχος πλ. δ΄.

Ἐν Βηθλεὲμ συνέδραμον Ποιμένες, τὸν ἀληθῆ μηνύοντες Ποιμένα, τὸν καθήμενον ἐπὶ τῶν Χερουβὶμ, καὶ ἀνακείμενον ἐν φάτνῃ, νηπίου μορφὴν δι' ἡμᾶς ἀνειληφότα. Κύριε δόξα σοι.

Ἀπολυτίκιον. Ἦχος β΄.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ Κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν· Κύριε δόξα σοι.

Κοντάκιον. Ἦχος πλ. β΄.

Ὁ πρὸ Ἑωσφόρου ἐκ Πατρὸς ἀμήτωρ γεννηθεὶς, ἐπὶ τῆς γῆς ἀπάτωρ ἐσαρκώθη σήμερον ἐκ σοῦ· ὅθεν Ἀστὴρ εὐαγγελίζεται Μάγοις. Ἄγγελοι δὲ μετὰ Ποιμένων ὑμνοῦσι τὸν ἄχραντον τόκον σου, ἡ Κεχαριτωμένη.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ἡ ἀόρατος φύσις, τοῖς βροτοῖς ἐκ Παρθένου συνάπτεται· σήμερον ἡ ἄπειρος οὐσία, ἐν Βηθλεὲμ σπαρ-

γάνοις ἐνειλίσσεται· σήμερον ὁ Θεὸς δι' Ἀστέρος, Μάγους εἰς προσκύνησιν ἄγει, προμηνύων αὐτῶν τὴν τριήμερον ταφήν, ὡς ἐν χρυσῷ καὶ σμύρνῃ καὶ λιβάνῳ· δι' οὗ ψάλλομεν· ὁ σαρκωθεὶς ἐκ Παρθένου Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἦχος β'. Ἰωάννου Μοναχοῦ.

Σήμερον ὁ Χριστὸς ἐν Βηθλεὲμ γεννᾶται ἐκ Παρθένου. Σήμερον ὁ ἄναρχος ἄρχεται, καὶ ὁ Λόγος σαρκοῦται. Αἱ Δυνάμεις τῶν Οὐρανῶν ἀγάλλονται, καὶ ἡ γῆ σὺν τοῖς ἀνθρώποις εὐφραίνεται. Οἱ Μάγοι τὰ δῶρα προσφέρουσιν, οἱ Ποιμένες τὸ θαῦμα κηρύττουσιν· ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

ΤΗ ΚΥΡΙΑΚΗ

Μετὰ τὴν Χριστοῦ Γέννησιν.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Μνήμην ἐπιτελοῦμεν, Δαβίδ, καὶ Ἰακώβου, εὐσεβοῦς Βασιλέως Προφήτου, καὶ Ἀποστόλου πρώτου Ἐπισκόπου· αὐτῶν γὰρ τοῖς διδάγμασι, πλάνης ἀπαλλαγέντες, Χριστὸν δοξολογοῦμεν, τὸν ἐκ Παρθένου ἀνατείλαντα, τὸν καὶ σαρκωθέντα, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Ἱερέων μνήμη, καὶ Βασιλέων κράτος, εὐφροσύνη γέγονεν ὁ Τόκος σου, καὶ ἐν αὐτῷ καυχώμενοι, λέγομεν· Πάτερ ἡμῶν ὁ ἐν τοῖς Οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου φιλάνθρωπε.

Καὶ νῦν· Ὁ αὐτός.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν Οὐρανῷ, καὶ ἀγάλλονται σήμερον· σκιρτᾷ δὲ πᾶσα ἡ Κτίσις, διὰ τὸν γεννηθέντα ἐν Βηθλεὲμ Σωτῆρα Κύριον· ὅτι πᾶσα πλάνη τῶν Εἰδώλων πέπαυται, καὶ βασιλεύει Χριστὸς εἰς τοὺς αἰῶνας.

Ἀπολυτίκιον. Ἦχος β'.

Εὐαγγελίζου Ἰωσὴφ, τῷ Δαυὶδ τὰ θαύματα τῷ Θεοπάτορι. Παρθένον εἶδες κυοφορήσασαν· μετὰ Μάγων προσεκύνησας, μετὰ Ποιμένων ἐδοξολόγησας, δι' Ἀγγέλου χρηματισθείς· ἱκέτευε Χριστὸν τὸν Θεὸν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἡ Παρθένος σήμερον.
Ἦχος γ'.

Εὐφροσύνης σήμερον. Δαυὶδ πληροῦται ὁ Θεὸς, Ἰωσήφ τε αἴνεσιν, σὺν Ἰακώβῳ προσφέρει· στέφος γὰρ τῇ συγγενείᾳ Χριστοῦ λαβόντες, χαίρουσι καὶ τὸν ἀφράστως ἐν γῇ τεχθέντα, ἀνυμνοῦσι καὶ βοῶσιν· Οἰκτίρμον σῶζε, τοὺς σὲ γεραίροντας.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἀνατολίου.
Ἦχος πλ. δ'.

Αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ, τέρατα γῆς ἃ προεῖδεν Ἰωήλ. Αἷμα τὴν Σάρκωσιν, πῦρ τὴν Θεότητα· ἀτμίδα δὲ καπνοῦ, τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ ἐπελθὸν τῇ Παρθένῳ, καὶ Κόσμον εὐωδιάσαν· μέγα τὸ Μυστήριον, τῆς σῆς ἐνανθρωπήσεως. Κύριε δόξα σοι.

ΕΙΣ ΤΗΝ ΚΖ'. ΔΕΚΕΜΒΡΙΟΥ.

Τοῦ Ἁγίου ἐνδόξου Πρωτομάρτυρος, καὶ Ἀρχιδιακόνου Στεφάνου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, τοῦ Πρωτομάρτυρος. Ἀνατολίου.
Ἦχος β'.

Τῷ Βασιλεῖ καὶ Δεσπότῃ τοῦ παντὸς, τεχθέντι ἐπὶ γῆς, Στέφανος ὑπέρλαμπρος προσφέρεται· οὐκ ἐκ λίθων τιμίων κατεσκευασμένος, ἀλλ' ἐξ οἰκείων αἱμάτων δινυθισμένος· ἀλλ' ὦ Φιλομάρτυρες, δεῦτε τὰ τῶν ᾀσμάτων ἄνθη δρεψάμενοι, τὰς κεφαλὰς ἀναδησώμεθα, καὶ τοῖς ὕμνοις ἀναμέλποντες, εἴπωμεν· Ὁ σοφίᾳ καταγλαϊσθεὶς

καὶ χάριτι τὴν ψυχὴν, Πρωτομάρτυς Χριστοῦ τοῦ Θεοῦ, αἴτησαι ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος ὁ αὐτός.

Μέγα καὶ παράδοξον θαῦμα, τετέλεσται σήμερον· Παρθένος τίκτει, καὶ μήτρα οὐ φθείρεται· ὁ Λόγος σαρκοῦται, καὶ τοῦ Πατρὸς οὐ κεχώρισται. Ἄγγελοι μετὰ Ποιμένων δοξάζουσι, καὶ ἡμεῖς σὺν αὐτοῖς ἐκβοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη.

Εἰς τὸν Στίχον. Δόξα, τοῦ Ἁγίου. Ἦχος πλ. β΄.

Πρῶτος ἐν Μάρτυσιν ἐδείχθης, καὶ ἐν Διακόνοις, Στέφανε μακάριε· τῶν ἀθλητῶν τὸ ἐγκαλλώπισμα, τῶν πιστῶν τὸ καύχημα, ἡ δόξα τῶν δικαίων· τοὺς τὴν σεπτήν σου ἑορτάζοντας μνήμην, αἴτησαι ὡς παριστάμενος τῷ Θρόνῳ, Χριστοῦ τοῦ παντάνακτος τῶν πταισμάτων ἱλασμὸν, καὶ Βασιλείας Οὐρανῶν, ἀξιωθῆναι ἡμᾶς.

Καὶ νῦν. Τῆς Ἑορτῆς, Ὁ αὐτός.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν Οὐρανῷ, καὶ ἀγάλλονται σήμερον· σκιρτᾷ δὲ πᾶσα ἡ Κτίσις, διὰ τὸν γεννηθέντα ἐν Βηθλεὲμ Σωτῆρα Κύριον· ὅτι πᾶσα πλάνη τῶν Εἰδώλων πέπαυται, καὶ βασιλεύει Χριστὸς εἰς τοὺς αἰῶνας.

Ἀπολυτίκιον τοῦ Ἁγίου. Ἦχος δ΄.

Βασίλειον διάδημα, ἐστέφθη σὴ κορυφὴ, ἐξ ἄθλων ὧν ὑπέμεινας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, Μαρτύρων Πρωτόαθλε· σὺ γὰρ τὴν Ἰουδαίων, ἀπελέγξας μανίαν, εἶδές σου τὸν Σωτῆρα, τοῦ Πατρὸς δεξιόθεν. Αὐτὸν οὖν ἐκδυσώπει ἀεὶ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Κοντάκιον. Ἡ Παρθένος σήμερον.

Ἦχος γ΄.

Ὁ Δεσπότης χθὲς ἡμῖν, διὰ σαρκὸς ἐπεδήμει, καὶ ὁ δοῦλος σήμερον, ἀπὸ σαρκὸς ἐξεδήμει· χθὲς ὁ Βασιλεύων, σαρκὶ ἐτέχθη, σήμερον ὁ οἰκέτης λιθοβολεῖται δι' αὐτὸν καὶ τελειοῦται, ὁ Πρωτομάρτυς καὶ θεῖος Στέφανος.

Εἰς τοὺς Αἴνους. Δόξα. Κυπριανοῦ.

Ἦχος πλ. ά.

Πρωτομάρτυς Ἀπόστολε, καὶ πρωτοδιάκονε, ἡ πύλη τῶν Μαρτύρων, ἡ δόξα τῶν Δικαίων, τῶν Ἀποστόλων τὸ καύχημα· σὺ Οὐρανοὺς ἐθεάσω ἀνεωγμένους, ἐν τῷ σταδίῳ ἑστὼς, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ, ἐκ δεξιῶν ἑστῶτα τοῦ ἀοράτου Πατρός· διὸ ὡς Ἄγγελος ἐκλάμψας τῷ προσώπῳ, ἐν χαρᾷ ἀνεκραύγαζες, ὑπὲρ τῶν λιθαζόντων· μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· καὶ νῦν αἴτησαι, τοῖς ἐκ πόθου εὐφημοῦσί σε, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Ἀκατάληπτον τὸ τελούμενον ἐν Βηθλεὲμ σήμερον Μυστήριον· ὁ ἀόρατος ὁρᾶται· ὁ ἄσαρκος σαρκοῦται· ὁ Λόγος παχύνεται· καὶ ὁ ὢν, γίνεται ὃ οὐκ ἦν. Παρθένος τίκτει ἐν σπηλαίῳ, βρέφος νέον, τὸν Πλάστην τῆς φύσεως· φάτνη ἐκτυποῦται, εἰς θρόνον ἐπουράνιον· κτήνη ἀπεικάζει, Χερουβικὴν παράστασιν. Ποιμένες θαυμάζουσι, Μάγοι δῶρα προσφέρουσιν, Ἄγγελοι ἀνυμνοῦντες λέγουσι· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη· ἐν ἀνθρώποις γὰρ εὐδόκησεν, ἀναλλοιώτως ὁ Ἐμμανουήλ.

Εἰς τὸν Στίχον, τῶν Αἴνων.

Δόξα. Ἦχος πλ. β΄.

Χαίροις ἐν Κυρίῳ, στεφανηφόρε Στέφανε, ὁ μιμητὴς τοῦ Δεσπότου· διότι καὶ Πρωτομάρτυς γέγονας Χριστοῦ τοῦ Βασιλέως ἡμῶν, καὶ τὴν πλάνην τῶν ἀνόμων Ἰουδαίων κατήργησας, πρέσβευε ὑπὲρ ἡμῶν πρὸς Κύριον.



ΙΑΝΝΟΥΑΡΙΟΣ.

ΕΙΣ ΤΗΝ Α΄. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Η' κατὰ Σάρκα Περιτομὴ τοῦ Κυρίȣ ἡμῶν Ἰησοῦ Χριςοῦ, καὶ Μνήμη τοῦ Ἁγίου Βασιλείου τοῦ Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Τοῦ Ἁγίου. Ἀνατολίου. Ἦχος πλ. δ΄.

Σοφίας ἐραστὴς γενόμενος Ὅσιε, καὶ πάντων τῶν ὄντων, τὴν πρὸς Θεὸν προκρίνας συμβίωσιν, μελέτην θανάτου, εἰκότως τῷ βίῳ κατέλιπες· τὰ γὰρ σαρκὸς πάθη, ἐγκρατείας πόνοις, σεαυτοῦ περιελόμενος, καὶ θείᾳ μελέτῃ Νόμου, ἀδούλωτον τῆς ψυχῆς τηρήσας τὸ ἀξίωμα, ἀρετῆς περιουσίᾳ, ὅλον τῆς σαρκὸς τὸ φρόνημα καθυπέταξας τῷ πνεύματι· διὸ σάρκα μισήσας, καὶ Κόσμον καὶ κοσμοκράτορα, παριστάμενος τῷ Χριστῷ, αἴτησαι ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος ὁ αὐτός.

Συγκαταβαίνων ὁ Σωτὴρ, τῷ γένει τῶν ἀνθρώπων, κατεδέξατο σπαργάνων περιβολὴν, οὐκ ἐβδελύξατο σαρκὸς τὴν Περιτομήν· ὁ ὀκταήμερος κατὰ τὴν Μητέρα, ὁ ἄναρχος κατὰ τὸν Πατέρα. Αὐτῷ πιστοὶ βοήσωμεν· σὺ εἶ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

Εἰς τὸν Στίχον. Δόξα, τοῦ Ἁγίου. Ἦχος πλ. β΄.

Ὁ τὴν χάριν τῶν θαυμάτων, οὐρανόθεν κομισάμενος, καὶ τὴν πλάνην τῶν εἰδώλων, στηλιτεύσας ἐν τοῖς δόγμασιν, Ἀρχιερέων ὑπάρχεις δόξα καὶ ἑδραίωμα, Παμμακάριστε Βασίλειε, καὶ πάντων Πατέρων διδασκαλίας ὑπόδειγμα· παῤῥησίαν ἔχων πρὸς Χριστὸν, αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος πλ. δ'.

Οὐκ ἐπαισχύνθη ὁ πανάγαθος Θεός, τῆς σαρκὸς τὴν Περιτομὴν ἀποτμηθῆναι, ἀλλ' ἔδωκεν ἑαυτόν, τύπον καὶ ὑπογραμμόν, πᾶσι πρὸς σωτηρίαν· ὁ γὰρ τοῦ Νόμου ποιητής, τὰ τοῦ Νόμου ἐκπληροῖ, καὶ τῶν Προφητῶν τὰ κηρυχθέντα περὶ αὐτοῦ· ὁ πάντα περιέπων δρακί, καὶ ἐν σπαργάνοις εἱλιθείς, Κύριε δόξα σοι.

Ἀπολυτίκιον. Τοῦ Ἁγίου. Ἦχος ά.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι' οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας, βασίλειον Ἱεράτευμα. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Μορφὴν ἀναλλοιώτως, ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ' οὐσίαν, πολυεύσπλαγχνε Κύριε· καὶ νόμον ἐκπληρῶν Περιτομήν, θελήσει καταδέχῃ σαρκικήν, ὅπως παύσῃ τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν· δόξα τῇ ἀγαθότητι τῇ σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ ἀνεκφράστῳ Λόγε συγκαταβάσει σου.

Κοντάκιον. Τοῦ Ἁγίου. Ἐπεφάνης σήμερον.
Ἦχος δ'.

Ὤφθης βάσις ἄσειστος τῇ Ἐκκλησίᾳ, νέμων πᾶσιν ἄσυλον, τὴν κυριότητα βροτοῖς, ἐπισφραγίζων σοῖς δόγμασιν, Οὐρανοφάντορ Βασίλειε Ὅσιε.

Τῆς Ἑορτῆς. Ἦχος γ'. Ἡ Παρθένος.

Ὁ τῶν ὅλων Κύριος, Περιτομὴν ὑπομένει, καὶ βροτῶν τὰ πταίσματα, ὡς ἀγαθὸς διατέμνει· δίδωσι τὴν σωτηρίαν σήμερον Κόσμῳ· χαίρει δὲ ἐν τοῖς ὑψίστοις καὶ ὁ τοῦ Κτίστου, Ἱεράρχης καὶ Φωσφόρος, ὁ θεῖος μύστης Χριστοῦ Βασίλειος.

Εἰς τοὺς Αἴνους. Δόξα. Τοῦ Ἁγίου. Ἦχος πλ. β'.

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου Ὅσιε Πάτερ, καὶ γέγονας ποιμήν, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσ-

κων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος πλ. δ'.

Συγκαταβαίνων ὁ Σωτὴρ τῷ γένει τῶν ἀνθρώπων, κατεδέξατο σπαργάνων περιβολήν, οὐκ ἐβδελύξατο σαρκὸς τὴν Περιτομήν· ὁ ὀκταήμερος κατὰ τὴν Μητέρα, ὁ ἄναρχος κατὰ τὸν Πατέρα. Αὐτῷ πιστοὶ βοήσωμεν· σὺ εἶ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

ΕΙΣ ΤΗΝ Ε'. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Ἡ Παραμονὴ τῶν Θεοφανείων.

ΩΡΑ ΠΡΩΤΗ.

Τροπάριον. Ἦχος δ'.

Ἀπεστρέφετο ποτέ, ὁ Ἰορδάνης Ποταμός, τῇ μηλωτῇ Ἐλισσαιέ, ἀναληφθέντος Ἠλιοῦ, καὶ διῃρεῖτο τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν, καὶ γέγονεν αὐτῷ ξηρὰ ὁδὸς ἡ ὑγρά, εἰς τύπον ἀληθῶς τοῦ Βαπτίσματος, δι' οὗ ἡμεῖς τὴν ῥέουσαν τοῦ βίου, διαπερῶμεν διάβασιν. Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ ἁγιάσαι τὰ ὕδατα.

Ἰδιόμελα. Ἦχος πλ. δ'.

Σήμερον τῶν ὑδάτων, ἁγιάζεται ἡ φύσις, καὶ ῥήγνυται ὁ Ἰορδάνης, καὶ τῶν ἰδίων ναμάτων ἐπέχει τὸ ῥεῦμα, Δεσπότην ὁρῶν ῥυπτόμενον.

Ἦχος ὁ αὐτός.

Ὡς ἄνθρωπος ἐν Ποταμῷ, ἦλθες Χριστὲ Βασιλεῦ, καὶ δουλικὸν Βάπτισμα λαβεῖν, σπεύδεις ἀγαθέ, ὑπὸ τῶν τοῦ Προδρόμου χειρῶν, διὰ τὰς ἁμαρτίας ἡμῶν φιλάνθρωπε.

Δόξα. Ἦχος ὁ αὐτός.

Πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν τȣ Κυρίȣ, ἦλθες Κύριε, μορφὴν δούλου λαβών, Βάπτισμα αἰτῶν, ὁ μὴ γνοὺς ἁμαρτίαν. Εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν· σύντρομος γέγονεν ὁ Πρό-

δρομος, καὶ ἐβόησε λέγων· πῶς φωτίσει ὁ λύχνος τὸ φῶς; πῶς χειροθετήσει ὁ δοῦλος τὸν Δεσπότην; ἁγίασον ἐμὲ καὶ τὰ ὕδατα Σωτὴρ, ὁ αἴρων τοῦ Κόσμου τὴν ἁμαρτίαν.

Καὶ νῦν. Τὸ αὐτό. Κοντάκιον. Ἦχος δ'.

Ἐν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ· Μὴ δειλιάσῃς βαπτίσαι με· σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

ΩΡΑ ΤΡΙΤΗ.

Τροπάριον. Ἦχος δ'.

Ἀπεστρέφετό ποτε, ὁ Ἰορδάνης Ποταμὸς, τῇ μηλωτῇ Ἐλισσαιὲ, ἀναληφθέντος Ἠλιοὺ, καὶ διῃρεῖτο τὰ ὕδατα ἔνθεν, καὶ ἔνθεν, καὶ γέγονεν αὐτῷ ξηρὰ ὁδὸς ἡ ὑγρὰ, εἰς τύπον ἀληθῶς τοῦ Βαπτίσματος, δι' οὗ ἡμεῖς τὴν ῥέουσαν τοῦ βίου, διαπερῶμεν διάβασιν. Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ ἁγιάσαι τὰ ὕδατα.

Ἰδιόμελα. Ἦχος πλ. δ'.

Ἡ τοῦ Προδρόμου καὶ Βαπτιστοῦ, τοῦ Προφήτου, καὶ ὑπὲρ πάντας τιμηθέντος τοὺς Προφήτας, ἐτρόμαξε νῦν χεὶρ δεξιὰ, ὅτε ἐθεάσατό σε τὸν Ἀμνὸν τοῦ Θεοῦ, τὸν καθαίροντα Κόσμου ἁμαρτήματα· καὶ ἀγωνίᾳ συσχεθεὶς ἐβόα· οὐ τολμῶ προσψαῦσαι Λόγε τῆς κορυφῆς σου· αὐτὸς ἁγίασόν με, καὶ φώτισον Οἰκτίρμον· αὐτὸς γὰρ εἶ ἡ ζωὴ καὶ τὸ φῶς, καὶ ἡ εἰρήνη τοῦ Κόσμου.

Ἦχος δ'.

Ἡ Τριὰς ὁ Θεὸς ἡμῶν, ἑαυτὴν ἡμῖν σήμερον, ἀδιαιρέτως πεφανέρωκεν· ὁ μὲν γὰρ Πατὴρ, ἐναργῆ μαρτυρίαν τῷ συγγενεῖ ἐπεφώνηκε· τὸ Πνεῦμα περιστερᾶς ἐν εἰκόνι, κατέπτη οὐρανόθεν, ὁ Υἱὸς τὴν ἄχραντον κορυφὴν, τῷ Προδρόμῳ ὑπέκλινε· καὶ βαπτισθεὶς, τὸ ἀνθρώπινον, ἐκ δουλείας ἐρρύσατο ὡς φιλάνθρωπος.

Δόξα. Ἦχος πλ. ά.

Ἐρχόμενος μετὰ σαρκὸς, πρὸς Ἰορδάνην Κύριε βαπτισθῆναι θέλων, ἐν σχήματι ἀνθρώπου Ζωοδότα, ἵνα

τοὺς πλανηθέντας ἡμᾶς ὡς εὔσπλαγχνος, πάσης μηχανῆς καὶ παγίδος τοῦ δράκοντος, ῥυσάμενος φωτίσῃς, ἐκ Πατρὸς μεμαρτύρησαι· τὸ δὲ Θεῖον Πνεῦμα, περιστερᾶς ἐν εἴδει σοι ἐπίστη· ἀλλ' οἴκησον ψυχαῖς ἡμετέραις σαυτὸν φιλάνθρωπε.

Καὶ νῦν. Τὸ αὐτό. Κοντάκιον. Ἦχος δ'.

Ἐν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ· Μὴ δειλιάσῃς βαπτίσαι με· σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

ΩΡΑ ΕΚΤΗ.

Κοντάκιον. Ἦχος δ'.

Ἀπεστρέφετο ποτὲ, ὁ Ἰορδάνης ποταμὸς τῇ μηλωτῇ Ἐλισσαιὲ, ἀναληφθέντος Ἠλιοὺ, καὶ διῃρεῖτο τὰ ὕδατα ἔνθεν, καὶ ἔνθεν, καὶ γέγονεν αὐτῷ ξηρὰ ὁδὸς ἡ ὑγρὰ, εἰς τύπον ἀληθῶς τοῦ Βαπτίσματος, δι' οὗ ἡμεῖς τὴν ῥέουσαν τοῦ βίου, διαπερῶμεν διάβασιν. Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ ἁγιάσαι τὰ ὕδατα.

Ἰδιόμελα. Ἦχος πλ. δ'.

Τάδε λέγει Κύριος πρὸς Ἰωάννην· Προφῆτα δεῦρο βάπτισόν με, τὸν σὲ δημιουργήσαντα· τὸν φωτίζοντα χάριτι, καὶ καθαίροντα ἅπαντας· ἅψαι Θείας κορυφῆς μου, καὶ μὴ διστάσῃς. Προφῆτα ἄφες ἄρτι· καὶ γὰρ πληρῶσαι παραγέγονα δικαιοσύνην πᾶσαν· σὺ οὖν μὴ διστάσῃς ὅλως· καὶ γὰρ τὸν κεκρυμμένον τοῖς ὕδασι πολέμιον, τὸν ἄρχοντα τοῦ σκότους, ἐπείγομαι ὀλέσαι· λυτρούμενος τὸν Κόσμον, ἐκ τῶν αὐτοῦ παγίδων νῦν· παρέχων ὡς φιλάνθρωπος, ζωὴν τὴν αἰώνιον.

Ἦχος πλ. β'.

Σήμερον ἡ ψαλμικὴ Προφητεία, πέρας λαβεῖν ἐπείγεται· ἡ Θάλασσα γάρ φησιν, εἶδε καὶ ἔφυγεν· ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, ἀπὸ προσώπου Κυρίου, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ· ἐλθόντος ὑπὸ δούλου δέξασ-

σθαι Βάπτισμα, ἵνα ἡμεῖς εἰδωλικῆς ἀκαθαρσίας ἐκπλυθέντες, φωτισθῶμεν τὰς ψυχὰς δι' αὐτοῦ.

Δόξα. Ἦχος πλ. ά.

Τί ἀναχαιτίζεις σου τὰ ὕδατα ὦ Ἰορδάνη; τί ἀναποδίζεις τὸ ῥεῖθρον, καὶ οὐ προβαίνεις τὴν κατὰ φύσιν πορείαν; οὐ δύναμαι φέρειν φησὶ, πῦρ καταναλίσκον, ἐξίσταμαι, καὶ φρίττω τὴν ἄκραν συγκατάβασιν· ὅτι οὐκ εἴωθα τὸν καθαρὸν ἀποπλύνειν· οὐκ ἔμαθον τὸν ἀναμάρτητον ἀποσμήχειν· ἀλλὰ τὰ ῥερυπωμένα σκεύη ἐκκαθαίρειν· ἀκάνθας φλέγειν με ἁμαρτημάτων διδάσκει, ὁ ἐν ἐμοὶ βαπτιζόμενος Χριστός· ὁ Ἰωάννης συμμαρτυρεῖ μοι· ἡ φωνὴ τοῦ Λόγου βοᾷ· ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Κόσμου. Αὐτῷ πιστοὶ βοήσωμεν· ὁ ἐπιφανεὶς Θεὸς, εἰς τὴν ἡμῶν σωτηρίαν, δόξα σοι.

Καὶ νῦν. Τὸ αὐτό. Κοντάκιον. Ἦχος δ'.

Ἐν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ· Μὴ δειλιάσῃς βαπτίσαι με· σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

ΩΡΑ ΕΝΝΑΤΗ.

Τροπάριον. Ἦχος δ'.

Ἀπεστρέφετο ποτὲ, ὁ Ἰορδάνης Ποταμὸς, τῇ μηλωτῇ Ἐλισσαιὲ, ἀναληφθέντος Ἠλιοὺ, καὶ διῃρεῖτο τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν, καὶ γέγονεν αὐτῷ ξηρὰ ὁδὸς ἡ ὑγρὰ, εἰς τύπον ἀληθῶς τοῦ Βαπτίσματος, δι' οὗ ἡμεῖς τὴν ῥέουσαν τοῦ βίου, διαπερῶμεν διάβασιν. Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ ἁγιάσαι τὰ ὕδατα.

Ἰδιόμελα. Ἦχος βαρύς.

Θάμβος ἦν κατιδεῖν, τὸν Οὐρανοῦ καὶ γῆς Ποιητὴν, ἐν Ποταμῷ γυμνωθέντα, Βάπτισμα ὑπὸ δούλου, εἰς ἡμῶν σωτηρίαν, δεχόμενον ὡς δοῦλον· καὶ χοροὶ Ἀγγέλων ἐξεπλήττοντο, φόβῳ καὶ χαρᾷ· μεθ' ὧν προσκυνοῦμέν σε, σῶσον ἡμᾶς Κύριε.

Ἦχος β'.

Ὅτε πρὸς αὐτὸν ἐρχόμενον ὁ Πρόδρομος, τὸν Κύριον τῆς δόξης, ἐβόα θεωρῶν· ἴδε ὁ λυτρούμενος τὸν Κόσμον, παραγέγονεν ἐκ φθορᾶς· ἴδε ῥύεται ἡμᾶς ἐκ θλίψεως· ἰδοὺ ἁμαρτημάτων ἄφεσιν χαριζόμενος ἐπὶ γῆς, ἐκ Παρθένου ἁγνῆς ἐλήλυθε δι' ἔλεον· καὶ ἀντὶ δούλων, υἱοὺς Θεοῦ ἐργάζεται· ἀντὶ δὲ σκότους, φωτίζει τὸ ἀνθρώπινον, διὰ τοῦ ὕδατος τοῦ θείου Βαπτισμοῦ αὐτοῦ. Λοιπὸν, δεῦτε συμφωνως αὐτὸν δοξολογήσωμεν, σὺν Πατρὶ, καὶ Ἁγίῳ Πνεύματι.

Δόξα. Ἦχος πλ. ά.

Τὴν χεῖρά σου τὴν ἁψαμένην, τὴν ἀκήρατον κορυφὴν τοῦ Δεσπότου· μεθ' ἧς καὶ δακτύλῳ αὐτὸν, ἡμῖν καθυπέδειξας, ἔπαρον ὑπὲρ ἡμῶν πρὸς αὐτὸν Βαπτιστὰ, ὡς παῤῥησίαν ἔχων πολλήν. Καὶ γὰρ μείζων τῶν Προφητῶν ἁπάντων, ὑπ' αὐτοῦ μεμαρτυρησαι. Τοὺς ὀφθαλμούς σου παλιν δὲ, τοὺς τὸ Πανάγιον Πνεῦμα κατιδόντας, ὡς ἐν εἴδει Περιστερᾶς κατελθὸν, ἀναπέτασον πρὸς αὐτὸν Βαπτιστὰ, ἵλεων ἡμῖν ἀπεργασάμενος. Καὶ δεῦρο στῆθι μεθ' ἡμῶν, ἐπισφραγίζων τὸν ὕμνον, καὶ προεξάρχων τῆς πανηγύσεως.

Καὶ νῦν. Τὸ αὐτό. Κοντάκιον. Ἦχος δ'.

Ἐν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ· Μὴ δειλιάσῃς βαπτίσαι με· σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

ΕΙΣ ΤΗΣ Ϛ'. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Τὰ Ἅγια Θεοφάνεια τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος β'. Βύζαντος.

Ὑπέκλινας Κάραν τῷ Προδρόμῳ, συνέθλασας κάρας τῶν δρακόντων, ἐπέστης ἐν τοῖς ῥείθροις, φωτίσαι τὰ σύμπαντα, τοῦ δοξάζειν σε Σωτὴρ, τὸν φωτισμὸν τῶν ψυχῶν ἡμῶν.

Καὶ καθ' ἑξῆς ἡ Λειτουργία τοῦ Ἁγίου Βασιλείȣ. Μετὰ δὲ τὴν ὀπισθάμβωνον Εὐχὴν, ἐξερχόμεθα ἐν τῇ Κολυμβήθρᾳ, καὶ ψάλλομεν τὰ παρόντα Τροπάρια.

Σωφρονίου Πατριάρχου Ἱεροσολύμων. Ἦχος πλ. δ'.

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων βοᾷ λέγουσα· δεῦτε λάβετε πάντες, Πνεῦμα Σοφίας, Πνεῦμα Συνέσεως, Πνεῦμα Φόβου Θεοῦ, τοῦ ἐπιφανέντος Χριστοῦ.

Ἦχος ὁ αὐτός.

Σήμερον τῶν ὑδάτων, ἁγιάζεται ἡ φύσις, καὶ ῥήγνυται ὁ Ἰορδάνης, καὶ τῶν ἰδίων ναματων ἐπέχει τὸ ῥεῦμα, Δεσπότην ὁρῶν ῥυπτόμενον.

Ἦχος ὁ αὐτός.

Ὡς ἄνθρωπος ἐν ποταμῷ, ἦλθες Χριστὲ Βασιλεῦ, καὶ δουλικὸν Βάπτισμα λαβεῖν, σπεύδεις Ἀγαθὲ, ὑπὸ τῶν τȣ̃ Προδρόμου χειρῶν, διὰ τὰς ἁμαρτίας ἡμῶν φιλάνθρωπε.

Δόξα. Ἦχος ὁ αὐτός.

Πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου, ἦλθες Κύριε, μορφὴν δούλου λαβὼν, Βάπτισμα αἰτῶν, ὁ μὴ γνοὺς ἁμαρτίαν. Εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν· σύντρομος γέγονεν ὁ Πρόδρομος, καὶ ἐβόησε λέγων· πῶς φωτίσει ὁ λύχνος τὸ φῶς; πῶς χειροθετήσει ὁ δοῦλος τὸν Δεσπότην; Ἁγίασον ἐμὲ καὶ τὰ ὕδατα Σωτὴρ, ὁ αἴρων τοῦ Κόσμου τὴν ἁμαρτίαν.

Ἀπολυτίκιον. Ἦχος α'.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα· καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές· ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεὸς, καὶ τὸν Κόσμον φωτίσας, δόξα σοι.

Κοντάκιον. Ἦχος δ'.

Ἐπεφάνης σήμερον τῇ Οἰκουμένῃ, καὶ τὸ φῶς σου Κύριε, ἐσημειώθη ἐφ' ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς σε· ἦλθες ἐφάνης, τὸ φῶς τὸ ἀπρόσιτον.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἀνατολίου.
Ἦχος πλ. β΄.

Νάματα Ἰορδάνεια περιέβαλε Σωτὴρ, ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον· καὶ ἔκλινας κορυφὴν τῷ Προδρόμῳ, ὁ τὸν Οὐρανὸν μετρήσας σπιθαμῇ· ἵνα ἐπιστρέψῃς Κόσμον ἐκ πλάνης, καὶ σώσῃς τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἀνατολίου. Ἦχος β΄.

Σήμερον ὁ Χριστὸς, ἐν Ἰορδάνῃ ἦλθε βαπτισθῆναι. Σήμερον Ἰωάννης ἅπτεται, κορυφῆς τοῦ Δεσπότου. Αἱ Δυνάμεις τῶν Οὐρανῶν ἐξέστησαν, τὸ παράδοξον ὁρῶσαι Μυστήριον. Ἡ Θάλασσα εἶδε, καὶ ἔφυγεν, Ἰορδάνης ἰδὼν ἀνεστρέφετο. Ἡμεῖς δὲ οἱ φωτισθέντες βοῶμεν· Δόξα τῷ φανέντι Θεῷ, καὶ ἐπὶ γῆς ὀφθέντι, καὶ φωτίσαντι τὸν Κόσμον.

ΕΙΣ ΤΗΝ Ζ΄. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Σύναξις τοῦ τιμίου καὶ ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄.

Ἔνσαρκε λύχνε, Πρόδρομε τοῦ Σωτῆρος, βλάστημα στείρας, φίλε τοῦ ἐκ Παρθένου, ὃν σκιρτήμασι νηδύος προσεκύνησας, καὶ ἐβάπτισας νάμασι τοῦ Ἰορδάνου, τούτου πρέσβευε δεόμεθα Προφῆτα, τὰς τῶν μελλόντων ἐκφυγεῖν τρικυμίας.

Καὶ νῦν. Ὁ αὐτός.

Θεὸς Λόγος ἐπεφάνη ἐν σαρκὶ, τῷ γένει τῶν ἀνθρώπων· ἵστατο βαπτισθῆναι ἐν Ἰορδάνῃ, καὶ ἔλεγε πρὸς αὐτὸν ὁ Πρόδρομος· πῶς ἐκτείνω χεῖρα, καὶ ἅψομαι, κορυφῆς κρατούσης τὰ σύμπαντα; εἰ καὶ ἐκ Μαρίας ὑπάρχεις βρέφος, ἀλλ' οἶδά σε Θεὸν προαιώνιον· ἐπὶ γῆς βαδίζεις, ὁ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ· καὶ δοῦλος Δεσπότην, βαπτίζειν οὐ μεμάθηκα· ἀκατάληπτε Κύριε δόξα σοι.

Εἰς τὸν Στίχον. Δόξα. Βυζαντίου. Ἦχος δ'.

Ὡς τοῦ Πνεύματος ἐραστής, καὶ τῆς χάριτος θεόφθογγος χελιδών, τρανῶς τὴν Οἰκονομίαν τοῦ Βασιλέως βροτῶν τῷ γένει ἐξ Ἁγνῆς φαεινῶς ἀνατείλασαν, εἰς μερόπων ἀνάκλησιν, κατεφώτισας Πρόδρομε, τῶν σκυθρωπῶν ἠθῶν ἀπελαύνων τὸ τέρμα, καὶ ζωῆς ἀϊδίου ἐπιλαβέσθαι ἰθύνων, τὰς καρδίας τῶν ἐν μετανοίᾳ βαπτιζομένων, Μάκαρ Θεόληπτε.

Καὶ νῦν. Ὁ αὐτός.

Δεῦτε μιμησώμεθα τὰς φρονίμους Παρθένους· δεῦτε ὑπαντήσωμεν τῷ φανέντι Δεσπότῃ· ὅτι προῆλθεν ὡς Νυμφίος πρὸς τὸν Ἰωάννην· ὁ Ἰορδάνης ἰδών σε ἔπτηξε καὶ ἔμεινεν· ὁ Ἰωάννης ἐβόα· οὐ τολμῶ κρατῆσαι κορυφῆς ἀθανάτου· τὸ Πνεῦμα κατήρχετο, ἐν εἴδει περιστερᾶς, ἁγιάσαι τὰ ὕδατα, καὶ φωνὴ οὐρανόθεν· οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ὁ ἐλθὼν εἰς τὸν Κόσμον, σῶσαι γένος ἀνθρώπων. Κύριε δόξα σοι.

Ἀπολυτίκιον. Τῆς Ἑορτῆς. Ἦχος ά.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα· καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές· ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν Κόσμον φωτίσας, δόξα σοι.

Τοῦ Ἁγίου, Ἦχος β'.

Μνήμη δικαίου μετ' ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος· ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον· ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ Κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἰδιόμελον. Ἦχος πλ. β'.

Τὴν σωματικήν σου παρουσίαν δεδοικὼς ὁ Ἰορδάνης τρόμῳ ὑπεστρέφετο· τὴν πνευματικὴν δὲ λειτουργίαν

ἐκπληρῶν ὁ Ἰωάννης, φόβῳ ὑπεστέλλετο· τῶν Ἀγγέλων αἱ τάξεις ἐξεπλήττοντο, ὁρῶσαί σε ἐν ῥείθροις σαρκὶ βαπτιζόμενον· καὶ πάντες οἱ ἐν τῷ σκότει κατηυγάζοντο, ἀνυμνοῦντές σε τὸν φανέντα, καὶ φωτίσαντα τὰ πάντα.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Ἄγγελος ἐκ στειρωτικῶν λαγόνων, προῆλθες Βαπτιστά, ἐξ αὐτῶν τῶν σπαργάνων τὴν ἔρημον οἰκήσας· σφραγίς τε πάντων τῶν Προφητῶν ἐδείχθης· ὃν γὰρ ἐκεῖνοι πολυτρόπως ἐθεάσαντο, καὶ αἰνιγματωδῶς προεκήρυξαν, τοῦτον βαπτίσαι, ἐν Ἰορδάνῃ κατηξιώθης· φωνῆς τε ἀκήκοας Πατρικῆς οὐρανόθεν, μαρτυρούσης αὐτοῦ τὴν Υἱότητα, καὶ τὸ Πνεῦμα εἶδες, περιστερᾶς ἐν εἴδει, τὴν φωνὴν ἕλκον ἐπὶ τὸν βαπτιζόμενον. Ἀλλ' ὦ πάντων τῶν Προφητῶν ὑπέρτερε, μὴ διαλίπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν πιστῶς σου τελούντων τὸ μνημόσυνον.

Καὶ νῦν. Ἦχος β'.

Σήμερον ὁ Χριστὸς ἐν Ἰορδάνῃ ἦλθε βαπτισθῆναι. Σήμερον Ἰωάννης ἅπτεται, κορυφῆς τοῦ Δεσπότου. Αἱ Δυνάμεις τῶν Οὐρανῶν ἐξέστησαν, τὸ παράδοξον ὁρῶσαι Μυστήριον. Ἡ Θάλασσα εἶδε, καὶ ἔφυγεν, Ἰορδάνης ἰδὼν ἀνεστρέφετο. Ἡμεῖς δὲ οἱ φωτισθέντες βοῶμεν· Δόξα τῷ φανέντι Θεῷ, καὶ ἐπὶ γῆς ὀφθέντι, καὶ φωτίσαντι τὸν Κόσμον.


ΕΙΣ ΤΗΝ ΙΑ'. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδοσίου τοῦ Κοινοβιάρχου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα Ἦχος β'.

Ὅσιε Πάτερ, ὡς πόλιν ζῶντος Θεοῦ, εὔφραναν τὴν ἱεράν σου ψυχήν, τοῦ ποταμοῦ τὰ ὁρμήματα, τοῦ ὕδατος τῆς ἀφέσεως, τοῦ διελθόντος τὸν Ἰορδάνην, καὶ πᾶσι τοῖς πέρασι, τῆς εὐσεβείας τὸν λόγον πηγάσαντος,



Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ὃν ἱκέτευε παμμάκαρ Θεοδόσιε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν, Θεοδόσιε Πατὴρ ἡμῶν· διὰ γάρ σου τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν· μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, Ἀγγέλων συνόμιλε, Δικαίων ὁμόσκηνε, καὶ Ὁσίων· μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας. καὶ γέγονας φωστὴρ τῇ Οἰκουμένῃ, λάμπων τοῖς θαύμασι, Θεοδόσιε Πατὴρ ἡμῶν Ὅσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Πεφυτευμένος ἐν αὐλαῖς ταῖς τοῦ Κυρίου σου, τὰς φαεινοτάτας ἀρετὰς τερπνῶς ἐξήνθησας, καὶ ἐπλήθυνας τὰ τέκνα σου ἐν ἐρήμῳ, τῶν δακρύων σου τοῖς ὄμβροις ἀρδευόμενα, ἀγελάρχα τῶν θείων ἐπαύλεων· ὅθεν κράζομεν· Χαίροις Πάτερ Θεοδόσιε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Τῶν ἀρετῶν ἡ κλίμαξ, ὑπογραμμὸς ἀνεδείχθη ἐπὶ τῆς γῆς· τοῦτον εὐφημήσωμεν, ὡς ἀσκητῶν ἐγκαλλώπισμα· ἐξασκήσας γὰρ ὡς ἀληθῶς, ὥσπερ ὁ μέγας Ἀντώνιος, ἄμετρον ταπείνωσιν ἐνδειξάμενος, καὶ ποιμάνας τὸν λαὸν αὐτοῦ εὐσεβῶς, εἰς μάνδραν ἁγίαν ἐνήλασεν, οὗ ὁ χορὸς τῶν Ἁγίων καθίστηκεν. Ἐκτενῶς οὖν βοῶμέν σοι· μὴ ἐπιλάθῃ καὶ νῦν τῆς ποίμνης σου παμμάκαρ Θεοδόσιε· ἀλλὰ πρεσβείαις σου πρὸς Κύριον, σῶσον ἡμᾶς δεόμεθα.

ΕΙΣ ΤΗΝ ΙΕ'. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Καλυβίτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, Ἦχος β'.

Ἀρνησάμενος Κόσμον, καὶ τὰ ἐν Κόσμῳ Ὅσιε, Εὐαγγέλιον λαβὼν, εὐαγγελικῶς αὐτῷ ἠκολούθησαν· καὶ τῇ Καλύβῃ διαιτώμενος ὡς ἐν Παραδείσῳ μυστικῶς, τῇ ἄκρᾳ σκληραγωγίᾳ τῆς σαρκὸς, τὸν βροτοκτόνον δράκοντα ἀπέκτεινας. Διὸ ἐν Οὐρανοῖς αὐλιζόμενος, Ἰωάννη μακάριε, αἴτησαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς Οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. Παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεὸν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ἐκ βρέφους τὸν Κύριον, ἐπιποθήσας θερμῶς, τὸν Κόσμον κατέλιπες, καὶ τὰ ἐν Κόσμῳ τερπνὰ, καὶ ἤσκησας ἄριστα· ἔπηξας τὴν Καλύβην, πρὸ πυλῶν σῶν γονέων· ἔθραυσας τῶν δαιμόνων, τὰς ἐνέδρας Παμμάκαρ· διό σε Ἰωάννη. Χριστὸς ἀξίως ἐδόξασεν.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῶν ἄνω τυχεῖν, πανσόφως ἐφιέμενος, τῶν κάτω τερπνῶν, ἐμφρόνως κατεφρόνησας, καὶ Χριστῷ πτωχεύσαντι, συμπτωχεύσας χαίρων ἠκολούθησας, Ἰωάννη· πρὸς ὃν ἐκτενῶς, μὴ παύσῃ πρεσβεύων, ὑπὲρ πάντων ἡμῶν.



ΕΙΣ ΤΗΝ ΙϚ΄. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Ἡ προσκύνησις τῆς τιμίας Ἁλύσεως τοῦ Ἁγίου καὶ Πανευφήμου Ἀποστόλου Πέτρου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄. Βύζαντος.

Σήμερον ἡμῖν ἡ κρηπὶς τῆς Ἐκκλησίας, Πέτρος ἡ πέτρα τῆς Πίστεως, προτίθεται τὴν τιμίαν αὐτοῦ Ἅλυσιν, εἰς ψυχικὴν εὐεξίαν. Δεῦτε πάντες ταύτην προσπτυσσόμενοι, ἐν εὐφημίοις ᾠδαῖς, αὐτὸν καταστέψωμεν· Χαίροις ὁ θερμὸς τῆς Πίστεως πρόμαχος, ὁ θερμῇ τῇ διανοίᾳ τὸν Χριστὸν ὁμολογήσας, καὶ Υἱὸν Θεοῦ ἐν παῤῥησίᾳ πολλῇ. Χαίροις τῆς Οἰκουμένης τὸ ἀγαλλίαμα, καὶ τῆς Οὐρανῶν Βασιλείας κλειδοῦχε. Χάριν πορίζου τοῖς πόθῳ σε τιμῶσι, καὶ τὴν σὴν σεβάσμιον Ἅλυσιν προσπτυσσομένοις ἐκ πόθου· ὡς παριστάμενος τῷ θρόνῳ τοῦ Παντάνακτος Θεοῦ, πρεσβείαν ποιούμενος, ὑπὲρ ἡμῶν τῶν ἐπταικότων. Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β΄.

Πάλιν ἡμῖν ὁ θερμὸς προστάτης, συνεγείρεται πρὸς πνευματικὴν πανδαισίαν, Πέτρος ἡ πέτρα τῆς Πίστεως, τὴν τιμίαν αὐτοῦ Ἅλυσιν προτιθεὶς ἡμῖν, καθάπερ ὀψώνιον πολυτελές, εἰς νοσημάτων ἰατρεῖον, εἰς θλιβομένων παραμυθίαν, εἰς λιμένα χειμαζομένων. Δεῦτε πάντες ταύτην περιπτυξώμεθα, καὶ τὸν αὐτὸν δοξάσαντα δυσωπήσωμεν. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Τὴν Ῥώμην μὴ λιπὼν, πρὸς ἡμᾶς ἐπεδήμησας, δι' ὧν ἐφόρεσας, τιμίων Ἁλύσεων, τῶν Ἀποστόλων Πρωτόθρονε· ἃς ἐν πίστει προσκυνοῦντες, δεόμεθα, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον. Τὴν ἐν πρεσβείαις ἀκοίμητον. Ἦχος β΄.

Τὸν κορυφαῖον καὶ πρῶτον τῶν Ἀποστόλων, τῆς ἀληθείας τὸν ἔνθεον ὑποφήτην, Πέτρον τὸν μέγιστον

εὐφημήσωμεν, καὶ τὴν αὐτοῦ ἐν πίστει ἀσπασώμεθα Ἄλυσιν, πταισμάτων τὴν λύσιν κομιζόμενοι.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος β'.

Τῷ τριττῷ τῆς ἐρωτήσεως, τῷ Πέτρε φιλεῖς με, τὸ τρίτον τῆς ἀρνήσεως, ὁ Χριστὸς διωρθώσατο· διὸ καὶ πρὸς τὸν κρυφιογνώστην ὁ Σίμων· Κύριε πάντα γινώσκεις, τὰ πάντα ἐπίστασαι, σὺ οἶδας ὅτι φιλῶ σε. Ὅθεν πρὸς αὐτὸν ὁ Σωτήρ· ποίμαινε τὰ πρόβατά μου, ποίμαινε τὴν ἐκλογάδα μου, ποίμαινε τὰ ἀρνία μου, ἃ ἐν τῷ ἰδίῳ Αἵματι περιεποιησάμην εἰς σωτηρίαν. Αὐτὸν ἱκέτευε Θεομακάριστε Ἀπόστολε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος δ'.

Ἀξίως εἴληφας ἐκ Θεοῦ τὰ χαρίσματα σοφὲ Ἀπόστολε, Πέτρα τῆς Πίστεως· ἀνθ' ὧν τὸ αἷμά σου τῷ Κτίστῃ, ὡς γλυκεῖον ἔδεσμα προσήγαγες πανεύφημε, καὶ κλειδοῦχος χάριτι τῶν οὐρανίων πυλῶν, πᾶσιν ἀναδέδειξαι, τοῖς πίστει εὐφημοῦσί σε.

ΕΙΣ ΤΗΝ ΙΖ'. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν. Ἀντωνίου τοῦ Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Συκεώτου.

Τὸ κατ' εἰκόνα τηρήσας ἀλώβητον, νοῦν ἡγεμόνα, κατὰ παθῶν ὀλεθρίων, ἀσκητικῶς ἐνστησάμενος, εἰς τὸ καθ' ὁμοίωσιν ὡς δυνατὸν ἀνελήλυθας· ἀνδρικῶς γὰρ τὴν φύσιν ἐκβιασάμενος, ἔσπευσας τὸ χεῖρον, καθυποτάξαι τῷ κρείττονι, καὶ τὴν σάρκα δουλῶσαι τῷ πνεύματι, ὅθεν Μοναζόντων, ἀνεδείχθης ἀκρότης, πολιστὴς τῆς Ἐρήμου, εὐδρομούντων ἀλείπτης, Κανὼν ἀρετῆς ἀκριβέστατος· καὶ νῦν ἐν Οὐρανοῖς τῶν ἐσόπτρων λυθέντων Μακάριε, καθαρῶς ἐποπτεύεις τὴν ἁγίαν Τριάδα, ἐντυγχάνων ἀμέσως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων σε.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ΄.

Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν, Ἀντώνιε Πατὴρ ἡμῶν· διὰ γάρ σου τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν· μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, Ἀγγέλων συνόμιλε, Δικαίων ὁμόσκηνε, καὶ Ὁσίων· μεθ᾽ ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸν ζηλωτὴν Ἠλίαν τοῖς τρόποις μιμούμενος, τῷ Βαπτιστῇ εὐθείαις ταῖς τρίβοις ἑπόμενος, Πάτερ Ἀντώνιε, τῆς ἐρήμου γέγονας οἰκιστής, καὶ τὴν Οἰκουμένην ἐστήριξας εὐχαῖς σου· διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τοὺς βιωτικοὺς θορύβους ἀπωσάμενος, ἡσυχαστικῶς τὸν βίον ἐξετέλεσας, τὸν βαπτιστὴν μιμούμενος, κατὰ πάντα τρόπον Ὁσιώτατε. Σὺν αὐτῷ οὖν σε γεραίρομεν, Πατέρων Πάτερ Ἀντώνιε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἀνατολίου. Ἦχος πλ. δ΄.

Οὐρανοδρόμῳ ἐπιβὰς ὀχήματι θεσπέσιε, τῶν ἀρετῶν κατέλαβες τὴν ἀκρόπολιν δι᾽ ἀσκήσεως, ἐκ τῆς ἐρήμου πολεύων, τῆς ἄνω Ἱερουσαλὴμ τὰ ὑπερκόσμια· καὶ τῶν ἐκ πόνων ἀγώνων, ἀξίως τὰ γέρα κομισάμενος, ταῖς οὐρανίαις συναγάλλῃ Ταξιαρχίαις Παμμακάριστε, τῶν αἰωνίων ἀγαθῶν κληρονόμος, καὶ τῆς Βασιλείας οἰκήτωρ γενόμενος· ἀλλὰ πρέσβευε Θεοφόρε Ἀντώνιε, τῷ Σωτῆρι τῶν ὅλων, εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ ΙΗ΄. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν Ἀθανασίου, καὶ Κυρίλλου Πατριαρχῶν Ἀλεξανδρείας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄. Γερμανοῦ.

Χριστοῦ τὸν Ἱεράρχην ὑμνήσωμεν ἅπαντες Ἀθανάσιον· ὅτι Ἀρείου τὰ δόγματα πάντα [illegible] καὶ τὸ

Ἁγίας Τριάδος τὸ κράτος, εἰς πάντα Κόσμον τρανῶς καταγγέλλει, ἕνα Θεὸν ἐν τρισὶ προσώποις ἀμέριστον· ᾧ καὶ πρεσβεύει ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τελούντων τὴν μνήμην αὐτοῦ.

Εἰς τὸν Στίχον. Δόξα. Γερμανοῦ. Ἦχος γ'.

Πάλιν ἡμῖν ὁ χρυσοῤῥόας Νεῖλος, καὶ τῆς Ἀθανασίας ἐπώνυμος, διὰ τῆς ἐτησίου μνήμης ἐπιδημῶν, ταῖς καλαῖς ἀναβάσεσι, πλημμυρεῖ τὰ χρυσόῤῥειθρα, τῆς ἀθανασίας χεύματα· καὶ τροφὴν ἀμβροσίας καρποδοτῶν, διὰ τῆς ὑψηλῆς Θεολογίας, Τριάδος ἀδιαίρετον κράτος, ἐκδιδάσκει προσκυνεῖν· καὶ πελαγίζων τὰ θεῖα διδάγματα, τῶν πιστῶν καταρδεύει τὰς διανοίας, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος γ'.

Στῦλος γέγονας Ὀρθοδοξίας, θείοις δόγμασιν ὑποστηρίζων, τὴν Ἐκκλησίαν Ἱεράρχα Ἀθανάσιε· τῷ γὰρ Πατρὶ τὸν Υἱὸν ὁμοούσιον, ἀνακηρύξας κατῄσχυνας Ἄρειον. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἦχος β'.

Ὀρθοδοξίας φυτεύσας τὰ δόγματα, κακοδοξίας ἀκάνθας ἐξέτεμες, πληθύνας τὸν σπόρον τῆς Πίστεως, τῇ ἐπομβρίᾳ τοῦ Πνεύματος Ὅσιε· διὸ σε ὑμνοῦμεν Ἀθανάσιε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος γ'.

Τὸ μέγα κλέος τῶν Ἱερέων, Ἀθανάσιον τὸν ἀήττητον ἀριστέα, ἱεροπρεπῶς εὐφημήσωμεν· οὗτος γὰρ τῶν αἱρέσεων συγκόψας τὰς φάλαγγας, τῇ δυνάμει τοῦ Πνεύματος, τὰ τῆς Ὀρθοδοξίας τρόπαια, ἀνεστήσατο καθ' ὅλης τῆς Οἰκουμένης, ἀριθμῶν εὐσεβῶς τὸ τῆς Τριάδος Μυστήριον, διὰ τὴν τῶν προσώπων ἰδιότητα· καὶ πάλιν συνάπτων ἀσυγχύτως εἰς ἕν, διὰ τὴν τῆς οὐσίας ταυτότητα· καὶ Χερουβικῶς θεολογῶν, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος ὁ αὐτός.

Ἡ μεγάλη τῆς ἀληθείας Σάλπιγξ, ὁ πολύαθλος Ἀθανάσιος, πρὸς εὐωχίαν σήμερον, συγκαλεῖται τὴν Ἐκκλησίαν· φαιδρῶς πάντες πιστοὶ, πρὸς τὴν πανήγυριν ὑπαντήσωμεν τȣ̃ καλοῦ Ποιμένος, ὕμνοις γεραίροντες τȣ̀ς ἱεροὺς αὐτοῦ πόνους· ὅπως ταῖς πρεσβείαις αὐτοῦ λάβωμεν, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τὸ μέγα ἔλεος.

ΕΙΣ ΤΗΝ ΙΘ΄. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μακαρίου τοῦ Αἰγυπτίȣ, καὶ τοῦ Ἁγίου Ἀρσενίου Ἀρχιεπισκόπου Κερκύρας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, Ἦχος πλ. δ΄. Ἀνατολίου.

Εὐφραίνου Αἴγυπτος ἀνθήσασα, τοιοῦτον πολιοῦχον, τὸν ἐν Μακαρίοις Μακάριον· οὗτος γὰρ τῇ σοφίᾳ τοῦ Ἁγίου Πνεύματος καταγλαϊσθεὶς, πᾶσαν ἄσκησιν, τῇ ἐναρέτῳ πολιτείᾳ αὐτοῦ ὑπερηκόντισεν. Αὐτὸν καὶ ἡμεῖς μεσίτην προσάγοντες, αἰτοῦμεν δυσωπεῖν τῷ Χριστῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β΄.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς Οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας· παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεὸν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος ά.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι Ἄγγελος, καὶ Θαυματȣργὸς ἀνεδείχθης, Θεοφόρε Πατὴρ ἡμῶν Μακάριε· νηστείᾳ ἀγρυπνίᾳ προσευχῇ, ȣ̓ράνια χαρίσματα λαβὼν, θεραπεύεις τȣ̀ς νοσȣ̃ντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν. Δόξα τῷ σὲ στεφανώσαντι. Δόξα τῷ ἐνεργȣ̃ντι διὰ σȣ̃ πᾶσιν ἰάματα.

Κοντάκιον. Χορὸς Ἀγγελικός. Ἦχος ά.

Μακάριον ζωὴν, ἐκτελέσας ἐν βίῳ, Μαρτύρων τοῖς χοροῖς, ἐν τῇ γῇ τῶν πραέων, ἀξίως συναυλίζεσθαι, Θεοφόρε Μακάριε, καὶ τὴν ἔρημον, καθάπερ πόλιν οἰκῆσαι, χάριν εἴληφας, παρὰ Θεȣ͂ τῶν θαυμάτων· διό σε γεραίρομεν.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος δ'.

Ἔλαμψαν τὰ καλὰ ἔργα σου, ὡς Ἥλιος ἐπὶ τῆς γῆς καὶ ἐν Οὐρανῷ, Χριστοῦ θεράπον Μακάριε. Ὀρθοδόξως γὰρ ἐκήρυξας ἡμῖν, τὴν ἀληθῆ καὶ ἀμώμητον πίστιν Χριστοῦ· διὸ ἱκέτευε Ὅσιε Πάτερ, ἐν τῇ μνήμῃ σȣ Θεοφόρε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

ΕΙΣ ΤΗΝ Κ'. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐθυμίου τοῦ Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος γ'.

Ἀφιερωθεὶς τῷ Θεῷ ἐκ κοιλίας μητρικῆς, ὡς ἄλλος Σαμουὴλ Πάτερ Εὐθύμιε, φερωνύμως γέγονας εὐθυμία τῶν πιστῶν, Μοναζόντων βακτηρία καὶ ἑδραίωμα, καὶ τοῦ Ἁγίου Πνεύματος καθαρὸν οἰκητήριον· αἴτησαι ἡμῖν τοῖς τιμῶσί σε τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. ά.

Ὅσιε Πάτερ, οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις σȣ νυσταγμὸν, ἕως σὺ τὴν ψυχὴν καὶ τὸ σῶμα, τῶν παθῶν ἠλευθέρωσας, καὶ σεαυτὸν ἡτοίμασας τοῦ Πνεύματος καταγώγιον· ἐλθὼν γὰρ ὁ Χριστὸς σὺν τῷ Πατρὶ, μονὴν παρὰ σοὶ ἐποιήσατο· καὶ τῆς ὁμοουσίου Τριάδος θεράπων γενόμενος, μεγαλοκήρυξ Εὐθύμιε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Εὐφραίνου ἔρημος ἡ οὐ τίκτουσα, εὐθύμησον ἡ οὐκ ὠδίνουσα, ὅτι ἐπλήθυνέ σοι τέκνα, ἀνὴρ ἐπιθυμιῶν τοῦ Πνεύματος, εὐσεβείᾳ φυτεύσας, ἐγκρατείᾳ ἐκθρέψας,

εἰς ἀρετῶν τελειότητα· ταῖς αὐτȣ̃ ἱκεσίαις Χριςὲ ὁ Θεός, εἰρήνευσον τὴν ζωὴν ἡμῶν.

Κοντάκιον. Ἦχος πλ. δ'.

Ἐν τῇ σεπτῇ γεννήσει σου, χαρὰν ἡ Κτίσις εὕρατο· καὶ ἐν τῇ θείᾳ μνήμῃ σου Ὅσιε, τὴν εὐθυμίαν ἔλαβε τῶν πολλῶν σου θαυμάτων· ἐξ ὧν παράσχου πλουσίως ταῖς ψυχαῖς ἡμῶν, καὶ ἀποκάθαρον ἁμαρτημάτων κηλίδας, ὅπως ψάλλωμεν, Ἀλληλούϊα.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν, Εὐθύμιε Πατὴρ ἡμῶν· διὰ γάρ σου τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν. Μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, Ἀγγέλων συνόμιλε, Δικαίων ὁμόσκηνε, καὶ Ὁσίων· μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ ΚΒ'. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Τοῦ Ἁγίου Ἀποστόλου Τιμοθέου, καὶ τοῦ Ἁγίου Μάρτυρος Ἀναστασίου τοῦ Πέρσου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ'.

Τῷ Θεῷ προωρισμένος, καὶ τῷ σοφῷ Παύλῳ μεμαθητευμένος, ἐμυήθης τὰ θεῖα, καλῶς πολιτευσάμενος· καὶ τὴν πίστιν μέχρις αἵματος ἀνενδοιάστως σαφῶς ἐνστερνισάμενος, καὶ πιστὸς Ἀρχιερεὺς ἀνεδείχθης, Τιμόθεε Ἀπόστολε· ὅθεν τοὺς εἰδωλομανοῦντας ἐλέγξας, ῥοπάλοις καὶ λίθοις καταικιζόμενος, ἔτυχες τοῦ Μαρτυρίου τῶν ςεφάνων. Διὸ Παμμάκαρ πρέσβευε, ὑπὲρ ἡμῶν τῶν ἐν πίςει τελούντων, τὴν πάνσεπτον μνήμην σου.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος β'.

Ἐμεγάλυνας Χριστὲ, ὡς ἐν τῇ Ἰουδαίᾳ, καὶ ἐν Βαβυλῶνι τοῦ τιμίου Σταυροῦ τὴν δύναμιν· ἔμαθον γὰρ δι' αὐτοῦ τὴν ζωοποιὸν τῆς Ἀναστάσεως Ἑορτὴν

καὶ γέγονεν ἐν αὐτοῖς ὁ αἰχμάλωτος, ἐλευθερωτὴς εἰδωλομανίας, καὶ Μάρτυς ἀπαράγραπτος τῶν θαυμάτων, ὁ νῦν εὐφημούμενος ἀθλητὴς, Ἀναστάσιος ὁ ἔνδοξος, σὺν Ἀγγέλοις χορεύων, καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Χρηστότητα ἐκδιδαχθεὶς, καὶ νήφων ἐν πᾶσιν, ἀγαθὴν συνείδησιν, ἱεροπρεπῶς ἐνδυσάμενος, ἤντλησας ἐκ τῦ Σκεύους τῆς ἐκλογῆς τὰ ἀπόῤῥητα, καὶ τὴν πίστιν τηρήσας, τὸν ἴσον δρόμον τετέλεκας, Ἱερομάρτυς Ἀναςάσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος ά. Χορὸς Ἀγγελικός.

Τὸν θεῖον μαθητὴν, καὶ συνέκδημον Παύλου, Τιμόθεον πιστοὶ, ἀνυμνήσωμεν πάντες, σὺν τούτω γεραίροντες, τὸν σοφὸν Ἀναστάσιον, τὸν ἐκλάμψαντα, ἐκ τῆς Περσίδος ὡς ἄστρον, καὶ ἐλαύνοντα, τα ψυχικὰ ἡμῶν πάθη, καὶ νόσους τοῦ σώματος.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος πλ. ά.

Ὅσιε Πάτερ, νικητὴς Μήδων, καὶ Χαλδαίων γέγονας τῶν νοητῶν, πᾶσαν Βαβυλῶνος πλάνην καθελὼν, τῇ δυνάμει τοῦ Σταυροῦ· οὐ τῷ λείῳ τῶν ἡδονῶν ἐθέλχθης, οὐ τὸ πῦρ τῶν πειρασμῶν ἐδειλίασας· διὸ Χριστὸς ὁ Θεὸς ἡμῶν, βραβείοις σε νικητικοῖς ἐστεφάνωσεν. Ὅθεν σὺν Ἀγγέλοις παριστάμενος, πρὸς Κύριον ἱκέτευε, αἰτούμενος εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΕΙΣ ΤΗΝ ΚΕ'. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου τῦ Θεολόγυ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ'.

Ἡ γρήγορος γλῶσσά σου πρὸς διδασκαλίαν, ἐν τοῖς ὠσὶ τῶν καρδιῶν ἐνηχοῦσα, τὰς τῶν ῥαθύμων ψυχὰς διανίστησι, καὶ θεοφθόγγοις ῥήμασι, κλίμαξ εὑρίσκεται τοὺς ἐκ γῆς πρὸς Οὐρανὸν ἀναφέρουσα. Διὸ Γρηγόριε

Θεολόγε, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, ἐκ κινδύνων σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Τὰς καρδίας τῶν πιστῶν, γεηπονῶν τῇ γλώττῃ σου Γρηγόριε, εὐσεβείας ἐν αὐταῖς, ἀειθαλεῖς ἐβλάστησας καρποὺς τῷ Θεῷ, τὰς ἀκανθώδεις αἱρέσεις προῤῥίζου ἐκτεμὼν, καὶ κοσμῶν τοῖς λογισμοῖς καθαρότητα· διὸ δεχόμενος, ἡμῶν τὰ ἐγκώμια, ἡ θεία λύρα, ὁ γρήγορος ὀφθαλμὸς, τῶν ποιμένων ὁ ποιμὴν, ὁ τῶν λύκων ἀγρευτὴς, πρέσβευε ἐκτενῶς, Θεολόγε τῷ Λόγῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος ά.

Ὁ Ποιμενικὸς αὐλὸς τῆς Θεολογίας σου, τὰς τῶν ῥητόρων ἐνίκησε σάλπιγγας· ὡς γὰρ τὰ βάθη τοῦ Πνεύματος ἐκζητήσαντι, καὶ τὰ κάλλη τοῦ φθέγματος προσετέθη σοι· ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ Πάτερ Γρηγόριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἡ Παρθένος σήμερον. Ἦχος γ'.

Θεολόγῳ γλώττῃ σου, τὰς συμπλοκὰς τῶν ῥητόρων, διαλύσας ἔνδοξε, Ὀρθοδοξίας χιτῶνα, ἄνωθεν ἐξυφανθέντα τῇ Ἐκκλησίᾳ, ἐστόλισας· ὃν καὶ φοροῦσα σὺν ἡμῖν κράζει, τοῖς σοῖς τέκνοις· Χαίροις Πάτερ, Θεολογίας ὁ νοῦς ὁ ἀκρότατος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἀνατολίου. Ἦχος ά.

Τὴν λύραν τοῦ Πνεύματος, τὸ τῶν αἱρέσεων θέλγητρον, καὶ Ὀρθοδόξων ἥδυσμα, τὸν δεύτερον Ἐπιστήθιον, τὸν τοῦ Λόγου αὐτόπτην, τοῖς δόγμασι γενόμενον, τὸν σοφὸν Ἀρχιποίμενα, τῆς Ἐκκλησίας τὰ θρέμματα, θεολογικοῖς ὕμνοις προσείπωμεν· Σὺ εἶ ὁ ποιμὴν ὁ καλὸς, ὁ δοὺς σεαυτὸν Γρηγόριε, ὡς ὁ διδάσκαλος Χριστὸς ὑπὲρ ἡμῶν, καὶ σὺν Παύλῳ χορεύεις, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



ΕΙΣ ΤΗΝ ΚΖ'. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου τῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος δ'. Κοσμᾶ.

Οὐκ ἔδει σε Χρυσόστομε, τὴν βασιλίδα καταλείψαντα, παροικεῖν ἐν Κομανοις· ὅθεν Θεόθεν ἡγμένη, ἡ ἀνακτορικὴ πανδαισία, πάλιν σε ἐπανήγαγεν ἐν τοῖς Βασιλείοις· εὐφράνθη δὲ καὶ ἡ Ἐκκλησία ἰδοῦσά σε, ἀνθομολογουμένη καὶ λέγουσα· Μεγαλύνει ἡ δόξα μου τὸν Κύριον, ἀποδόντα μοι τὸν νυμφαγωγόν, καὶ τὸ στήριγμα τῆς Πίστεως· τὴν ὑπόληψιν τῶν ἀξιωμάτων μου, καὶ ἀνάπαυσιν τῶν ἐμῶν κροτάφων· τὸ ὕψος τῆς ταπεινοφροσύνης, καὶ βάθος τῆς ἐλεημοσύνης, καὶ πλοῦτος τῆς ἐμῆς πτωχείας, καὶ νῖκος τῆς μετανοίας. Διὸ αἰτοῦμέν σε Ὅσιε Πάτερ, τὴν εἰρήνην αἴτησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Ὅσιε τρισμάκαρ, ἁγιώτατε Πάτερ, ὁ ποιμὴν ὁ καλὸς καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητὴς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· αὐτὸς καὶ νῦν πανεύφημε Ἰωάννη Χρυσόστομε, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν Οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ Κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν· ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριςῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος ά.

Εὐφράνθη μυστικῶς, ἡ σεπτὴ Ἐκκλησία, τῇ Ἀνακομιδῇ, τοῦ σεπτοῦ σου Λειψάνου· καὶ τοῦτο κατακρύ-

ψασα, ὡς χρυσίου πολύτιμον, τοῖς ὑμνοῦσι σε, ἀδιαλείπτως παρέχει, ταῖς πρεσβείαις σου, τῶν ἰαμάτων τὴν χάριν, Ἰωάννη Χρυσόστομε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος δ'.

Πάτερ Χρυσόστομε, ὡς Ποταμὸς θεόβρυτος, ἐκ τῆς Ἐδὲμ μυστικῶς ἐξερχόμενος, εἰς ἀρχὰς τέσσαρας διαδραμὼν, σοῖς λόγοις τῆς γῆς τὰ πέρατα, πάντα πιστὸν κατήρδευσας, τῇ παγχρύσῳ διδασκαλίᾳ σου· διὸ τὴν ἐπάνοδον σοῦ τῶν θείων Λειψάνων, ἡμῖν σαφῶς πολιτογραφίσας, πρεσβεύεις σωθῆναι, τὰς ψυχὰς Ἰωάννη, τῶν ἀνυμνούντων σε.

ΕΙΣ ΤΗΝ ΚΗ'. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Ἐμφρόνως τῶν ὀχληρῶν τοῦ βίου ἐπαναστὰς, Ἐφραὶμ ἀοίδιμε, φιλησυχίᾳ τὴν ἔρημον κατέλαβες· καὶ δι' αὐτῆς πρὸς Θεὸν πρακτικῶς ἀναγόμενος, τῷ Κόσμῳ ἔλαμψας φωστὴρ, καὶ ῥήματα ζωῆς τοῖς ἀνθρώποις ἐπήγασας. Διὸ μὴ παύσῃ ἐν ταῖς εὐχαῖς σου στηρίζων ἡμᾶς, ἐκ βλάβης τοῦ ἀλλοτρίου, ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν, Ὅσιε Πάτερ.

Εἰς τὸν Στίχον. Δόξα. Ἀνατολίου.
Ἦχος δ'.

Προφητικῶς καταβρέχων τὴν στρωμνὴν τοῖς δάκρυσι, καὶ μελέτην βίου ποιούμενος τὴν μετάνοιαν, τῆς κρίσεως τὸν φόβον, ἔργοις ἡμῖν, καὶ διὰ λόγων ὑπέδειξας· τὴν σὴν τιμῶμεν ἅπαντες, συνελθόντες παμμάκαρ μνήμην, παραδόξων πραγμάτων, αὐτουργὲ Κυρίου Ἐφραὶμ ἀοίδιμε· Διὸ καὶ νῦν δυσωποῦμέν σε· πρέσβευε Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ Οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Ἐφραὶμ Πατὴρ ἡμῶν Ὅσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὴν ὥραν ἀεὶ, προβλέπων τῆς ἐτάσεως, ἐθρήνεις πικρῶς, Ἐφραὶμ ὡς φιλήσυχος· πρακτικὸς δὲ γέγονας, ἐν τοῖς ἔργοις Διδάσκαλος Ὅσιε· ὅθεν Πάτερ παγκόσμιε, ῥαθύμους ἐγείρεις πρὸς μετάνοιαν.

Εἰς τοὺς Αἴνους. Δόξα, Ἦχος β'.

Ὥσπερ φοῖνιξ δαβιτικῶς ἐξανθήσας, Ὅσιε Πάτερ, τὰς γλώσσας τῶν βλασφήμων ἐξέκοψας, ἐν τῇ μαχαίρᾳ Ἐφραίμ· τὰς ἀβύσσους τῶν παθῶν ἐξήρανας δι' ἐγκρατείας, ὄργανον ἀνεδείχθης τοῦ Ἁγίου Πνεύματος· Σταυροῦ τὸ ὅπλον ἀναλαβών. Χριστὸν ἀπαύστως δυσώπει ὑπὲρ ἡμῶν, τῶν ἐπιτελούντων τὴν πανέορτον μνήμην σου.

ΕΙΣ ΤΗΝ Α'. ΙΑΝΝΟΥΑΡΙΟΥ.

Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Τὰς μυστικὰς σήμερον τοῦ Πνεύματος Σάλπιγγας, τοὺς Θεοφόρους Πατέρας ἀνευφημήσωμεν, τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς Ἐκκλησίας, μέλος ἐναρμόνιον Θεολογίας, Τριάδα μίαν ἀπαράλλακτον, οὐσίαν τε καὶ Θεότητα· τοὺς καθαιρέτας Ἀρείου, καὶ Ὀρθοδόξων προμάχους, τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον Δόξα. Ἦχος πλ. ά.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι, ἐν τῇ πανδήμῳ πανηγύρει τῶν Διδασκάλων ἡμῶν. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὰς Ἱεράρχας κροτείτωσαν ἐν ὕμνοις, ὡς δογμάτων βλύσαντας, Ποταμοὺς ὑπερμεγέθεις, τρεῖς καλλιῤῥόους ἀειζώους τοῦ Πνεύματος. Ποιμένες καὶ Διδάσκαλοι, τοὺς τῆς σεπτῆς Τριάδος, τρισσοὺς Ἱερομύστας, συνελθόντες εὐφημήσωμεν· οἱ Φιλόσοφοι τοὺς σοφὰς, οἱ Ἱερεῖς τοὺς Ποιμένας, οἱ ἁμαρτωλοὶ τοὺς προστάτας, οἱ πένητες τοὺς πλουτιστὰς, οἱ ἐν θλίψεσι τοὺς παραμυθοῦντας· τοὺς συνοδίτας οἱ ὁδοιπόροι, οἱ ἐν Θαλάσσῃ τοὺς κυβερνήτας· οἱ πάντες τοὺς πανταχοῦ θερμῶς προφθάνοντας, θείους Ἀρχιεράρχας ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Πανάγιοι Διδάσκαλοι, σπεύσατε ἐξελεῖν τοὺς πιστοὺς, ἐκ τῶν τοῦ βίου σκανδάλων, καὶ ῥῦσαι κολάσεων, τῶν αἰωνίων ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· προκύψασα γὰρ ἄνωθεν, ἡ Παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας αὐτήν. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατημένους πρὶν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος ὑπέραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν· τὴν Λυχνίαν τὴν χρυσαυγῆ, τὴν Φωτοφόρον Νεφέλην, τὴν τῶν Οὐρανῶν πλατυτέραν, τὴν ἔμψυχόν τε Κιβωτὸν, τὸν πυρίμορφον τοῦ Δεσπότου Θρόνον, τὴν μαννοδόχον χρυσέαν Στάμνον τὴν κεκλεισμένην τοῦ Λόγου Πύλην, τὴν πάντων Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς, τῆς Οὐρανῶν Βασιλείας· οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

'Απολυτίκιον. Ἦχος ά.

Τοὺς τρεῖς μεγίστους Φωστῆρας, τῆς τρισηλίου Θεότητος, τοὺς τὴν Οἰκουμένην ἀκτῖσι, δογμάτων θείων πυρσεύσαντας, τοὺς μελιῤῥύτους Ποταμοὺς τῆς σοφίας, τοὺς τὴν Κτίσιν πᾶσαν θεογνωσίας νάμασι καταρδεύσαντας, Βασίλειον τὸν μέγαν, καὶ τὸν Θεολόγον Γρηγόριον, σὺν τῷ κλεινῷ Ἰωάννῃ, τῷ τὴν γλῶτταν χρυσοῤῥήμονι, πάντες οἱ τῶν λόγων αὐτῶν ἐρασταὶ, συνελθόντες ὕμνοις τιμήσωμεν, αὐτοὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσιν.

Κοντάκιον Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Τοὺς ἱεροὺς καὶ θεοφθόγγους Κήρυκας, τὴν κορυφὴν τῶν Διδασκάλων Κύριε, προσελάβου εἰς ἀπόλαυσιν τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν κάματον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος δοξάζων τοὺς Ἁγίους σου.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος β'.

Σήμερον αἱ ψυχαὶ, τῶν γηγενῶν ὑψοῦνται ἐκ γηΐνων. Σήμερον οὐράνιοι γίνονται, τῶν Ἁγίων ἐν τῇ μνήμῃ· αἱ γὰρ πύλαι τῶν Οὐρανῶν ἐπαίρονται, καὶ ἡμῖν τὰ τοῦ Δεσπότου γνωρίζονται· οἱ λόγοι τοὺς λόγους κηρύττουσι, καὶ αἱ γλῶσσαι τὰ θαύματα μέλπουσιν· ἡμεῖς δὲ, πρὸς τὸν Σωτῆρα βοῶμεν· Δόξα σοι Χριστῷ τῷ Θεῷ, τοῖς γὰρ πιστοῖς εἰρήνη, διὰ τούτων ἐγεγόνει.



ΦΕΒΡΟΥΑΡΙΟΣ.

ΕΙΣ ΤΗΝ Β΄. ΦΕΒΡΟΥΑΡΙΟΥ.

Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἰωάννου Μοναχοῦ.
Ἦχος πλ. β΄.

Ἀνοιγέσθω ἡ πύλη τοῦ Οὐρανοῦ σήμερον· ὁ γὰρ ἄναρχος Λόγος τοῦ Πατρὸς, ἀρχὴν λαβὼν χρονικὴν, μὴ ἐκστὰς τῆς αὐτοῦ Θεότητος, ὑπὸ Παρθένου ὡς βρέφος τεσσαρακονθήμερον, Μητρὸς ἑκὼν προσφέρεται, ἐν Ναῷ τῷ Νομικῷ· καὶ τοῦτον ἀγκάλαις εἰσδέχεται ὁ Πρέσβυς, ἀπόλυσον κράζων, ὁ δοῦλος τῷ Δεσπότῃ· οἱ γὰρ ὀφθαλμοί μου εἶδον τὸ σωτήριόν σου· ὁ ἐλθὼν εἰς τὸν Κόσμον, σῶσαι γένος ἀνθρώπων, Κύριε δόξα σοι.

Εἰς τὸν Στίχον Δόξα. Ἦχος πλ. δ΄.

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφὶμ, σήμερον τῷ Θείῳ Ἱερῷ κατὰ Νόμον προσφερόμενος, πρεσβυτικαῖς ἐνθρονίζεται ἀγκάλαις· καὶ ὑπὸ Ἰωσὴφ εἰσδέχεται δῶρα Θεοπρεπῶς, ὡς ζεῦγος τρυγόνων τὴν ἀμίαντον Ἐκκλησίαν, καὶ τῶν Ἐθνῶν τὸν νεόλεκτον λαόν· περιστερῶν δὲ δύο νεοσσοὺς, ὡς ἀρχηγὸς Παλαιᾶς τε καὶ Καινῆς· τοῦ πρὸς αὐτὸν χρησμοῦ δὲ Συμεὼν τὸ πέρας δεξάμενος, εὐλογῶν τὴν Παρθένον Θεοτόκον Μαρίαν, τὰ τοῦ πάθους σύμβολα, τοῦ ἐξ αὐτῆς προηγόρευσε, καὶ παρ᾽ αὐτοῦ ἐξαιτεῖται τὴν ἀπόλυσιν βοῶν· Νῦν ἀπολύεις με Δέσποτα, καθὼς προεπηγγείλω μοι, ὅτι εἶδόν σε τὸ προαιώνιον φῶς, καὶ Σωτῆρα Κύριον τοῦ Χριστωνύμου Λαοῦ.

Ἀπολυτίκιον. Ἦχος ά.

Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει· εὐφραίνου καὶ σὺ Πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν Ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάςασιν.

Κοντάκιον. Ἦχος ά.

Ὁ μήτραν Παρθενικὴν ἁγιάσας τῷ τόκῳ σȣ, καὶ χεῖρας τοῦ Συμεὼν, εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς Χριστὲ ὁ Θεός· ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον Βασιλεῖς οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

Εἰς τοὺς Αἴνους. Δόξα. Γερμανοῦ. Ἦχος πλ. β'.

Ὁ ἐν χερσὶ πρεσβυτικαῖς, τὴν σήμερον ἡμέραν, ὡς ἐφ' ἅρματος Χερουβὶμ, ἀνακλιθῆναι εὐδοκήσας Χριστὲ ὁ Θεὸς, καὶ ἡμᾶς τοὺς ὑμνȣ̃ντάς σε, τῆς τῶν παθῶν Τυραννίδος, ἀνακαλȣ́μενος ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ Η'. ΦΕΒΡΟΥΑΡΙΟΥ.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τȣ̃ Στρατηλάτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. ά.

Σήμερον ἀνέτειλεν ὑπὲρ τὸν Ἑωσφόρον, ἡ σεβάσμιος μνήμη τοῦ Ἀθλοφόρου Χριστοῦ, τῶν πιστῶν τὰς καρδίας ἀνενδότως φωτίζουσα, καὶ τὰ νέφη τῶν ψυχῶν ἀποδιώκουσα, τῇ ἐνεργείᾳ καὶ χάριτι τοῦ Πνεύματος· πρὸς ὃν φιλομάρτυρες ἀνακράξωμεν· Χαίροις ὁ τοῖς πιστοῖς ἀναδειχθεὶς θεοδώρητος χάρις, καὶ τῶν θαυμάτων τὰ πλήθη ἐφαπλῶν, τοῖς εἰς σὲ προστρέχουσι Θεόδωρε Μακάριε. Χριστὸν ἀπαύστως πρεσβεύων μὴ ἐλλίπῃς, τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν πάνσεπτον μνήμην σου.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Τῶν τοῦ Θεοῦ Δωρεῶν ὡς ἐπώνυμον, καὶ τῆς αὐτοῦ κληρονόμον μακαριότητος, πάντες εὐφημήσωμεν πιστοί, καὶ μακαρίσωμεν ἐπαξίως, Θεόδωρον τὸν γενναῖον Μεγαλομάρτυρα, τῆς Οἰκουμένης τὸν ὑπέρμαχον· πρεσβεύει γὰρ Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Στρατολογίᾳ ἀληθεῖ Ἀθλοφόρε, τοῦ Οὐρανίου στρατηγὸς Βασιλέως, περικαλλὴς γεγένησαι Θεόδωρε· ὅπλοις γὰρ τῆς Πίστεως, παρετάξω ἐμφρόνως, καὶ κατεξωλόθρευσας τῶν Δαιμόνων τὰ στίφη, καὶ νικηφόρος ὤφθης Ἀθλητής· ὅθεν σε πίστει ἀεὶ μακαρίζομεν.

Κοντάκιον. Τὰ ἄνω ζητῶν. Ἦχος β'.

Ἀνδρείᾳ ψυχῆς, τὴν πίστιν θωρακισάμενος, καὶ ῥῆμα Θεοῦ, ὡς λόγχην χειρισάμενος, τὸν ἐχθρὸν κατέτρωσας, τῶν Μαρτύρων μέγιστε Θεόδωρε· σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

Εἰς τοὺς Αἴνους Δόξα. Ἦχος πλ. δ'.

Ἀθλητικὴν ἀνδρείαν, εὐσεβῶς καθοπλισθείς, Ἀθλοφόρε Χριστοῦ, καὶ λογικὴν λατρείαν μυστικῶς ὑπερμαχῶν τῇ δυνάμει αὐτοῦ, τῶν εἰδώλων τὸ ἀσεβές, καὶ τῶν Τυράννων τὸ ἀπηνές, ἀσθενὲς ἀπέδειξας, καταφρονῶν τῶν βασάνων, καὶ τοῦ προσκαίρου πυρός· ἀλλ' ὦ θείων δωρεῶν καὶ πρᾶγμα καὶ ὄνομα, ἀπὸ πάσης περιστάσεως, τῇ πρεσβείᾳ σου σῶζε, τοὺς τελοῦντας τὴν μνήμην σου.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος πλ. δ'.

Ἀθλητικὸν συστησάμενος στάδιον, κατὰ τῆς πλάνης ἠνδραγάθησας Θεόδωρε, τῇ πυριφθόγγῳ γλώττῃ σου καταισχύνας Λικινίου τὸ ἀπάνθρωπον· διὸ καὶ σὺν Ἀγγέλοις χορεύων μακάριε, αἴτησαι Χριστῷ τῷ Θεῷ, ὅπως ἵλεως γενήσηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

ΕΙΣ ΤΗΝ Ι΄. ΦΕΒΡΟΥΑΡΙΟΥ.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Χαραλάμπους.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄.

Χριστοῦ τοῦ Θεοῦ πυρωθεὶς τῷ ἔρωτι, φωστὴρ ὡς ἀνέσπερος πᾶσιν ἔλαμψας, καθαρθεὶς τοῖς ῥείθροις τοῦ σοῦ σεπτοῦ αἵματος· καὶ νῦν ἐν οὐρανοῖς τοὺς τῆς νίκης στεφάνους ἀπολαβὼν Χαράλαμπες, καθαρῶς ἐποπτεύεις Χριστὸν τὸν Κύριον· ὃν ἱκέτευε, καὶ ἡμᾶς ἀξιῶσαι, συμπολίτας γενέσθαι σοι, τοὺς τὴν σὴν σεβάσμιον Ἑορτὴν γεραίροντας, Μαρτύρων ἐγκαλλώπισμα.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ὁ Μάρτυς σου Κύριε ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς Τυράννους καθεῖλεν, ἔθραυσε καὶ Δαιμόνων τὰ ἀνίσχυρα θράση· αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος δ΄.

Χαραλάμπους σήμερον, ἡ Ἐκκλησία, τὴν σεπτὴν πανήγυριν ἐπιτελεῖ πανευσεβῶς, καὶ παῤῥησίᾳ κραυγάζουσα· χαίροις Παμμάκαρ Μαρτύρων τὸ καύχημα.

ΕΙΣ ΤΗΝ ΙΑ΄. ΦΕΒΡΟΥΑΡΙΟΥ.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Βλασίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄. Τοῦ Στουδίτου.

Βλαστήσας ἐν τῇ ἀσκήσει τῶν θείων ἀρετῶν, φερωνύμως Βλάσιε, ἐξήνθησας Δαβιτικῶς ὥσπερ φοίνιξ ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου, καὶ ὡσεὶ Κέδρος ἐπληθύνθης τοῖς κατορθώμασιν· ὡς ἄμπελος δὲ εὐθυνοῦσα ἐν οἴκῳ Θεοῦ, τῷ καιρῷ τοῦ Μαρτυρίου τεμνόμενος βασάνων

ποιναῖς, ἐκ καρποῦ τῶν ἀγώνων σου, ἔβλυσας ἡμῖν οἶνον νοητόν· ἐξ οὗ πιόντες, εὐφροσύνης ἐνθέου τὰς καρδίας πλησθείημεν· καὶ συμφώνως συνελθόντες, ἐν τῇ σεβασμίᾳ μνήμῃ τῆς σῆς τελειώσεως, μακαρίζοντες εὐφημοῦμέν σε, αἰτούμενοι λαβεῖν διὰ σοῦ τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος·

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος δ'.

Ὡς καλὸς παιδοτρίβης, καὶ διδάσκαλος τῆς εὐσεβείας, τῇ ἐνεργείᾳ, καὶ δυνάμει τῶν θείων λόγων σου, γυναῖκας φιλοθέους ὑπήλειψας πρὸς ἀγῶνας μαρτυρικούς· τὸ ἀσθενὲς τῆς φύσεως αὐτῶν ῥωννύων ἐν Χριστῷ· μεθ' ὧν τὸν δρόμον τῆς ἀσκήσεως καλῶς τελέσας, εἰς νυμφῶνα οὐράνιον φαιδρῶς συναγάλλῃ, διπλῷ Στεφάνῳ τῆς θείας δόξης σεμνυνόμενος, καὶ ἐξαιτούμενος σὺν αὐταῖς τὴν εἰρήνην ἡμῖν δοθῆναι, καὶ τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες Θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Βλάσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Τὰ ἄνω ζητῶν. Ἦχος β'.

Ὁ θεῖος βλαστός, τὸ ἄνθος τὸ ἀμάραντον, ἀμπέλου Χριστοῦ, τὸ κλῆμα τὸ πολύφορον, Θεοφόρε Βλάσιε, τοὺς ἐν πίστει τελοῦντας τὴν μνήμην σου, εὐφροσύνης τῆς σῆς πλήρωσον, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

ΕΙΣ ΤΗΝ ΙΖ'. ΦΕΒΡΟΥΑΡΙΟΥ.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τύρωνος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'.

Θείων δωρεῶν ἐπώνυμόν σε γεραίρω, τρισμάκαρ Θεόδωρε· τοῦ φωτὸς γὰρ τοῦ θείου ἄδυτος φωστὴρ ὤ-

ναδειχθείς, κατέλαμψας ἄθλοις σου τὴν σύμπασαν Κτίσιν· καὶ πυρὸς ἀκμαιότερος φανείς, τὴν φλόγα κατέσβεσας, καὶ τοῦ δολίου δράκοντος τὴν κάραν συνέτριψας· διὸ ἐν τοῖς ἄθλοις σου, Χριστὸς ἐπικαμφθείς, ἐστεφάνωσε τὴν θείαν κάραν σου, Μεγαλομάρτυς ἀθλητά. Ὡς ἔχων παῤῥησίαν πρὸς Θεόν, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος β'.

Τὴν θεοδώρητον χάριν, τῶν θαυμάτων σου Μάρτυς Θεόδωρε, πᾶσιν ἐφαπλοῖς τοῖς πίστει σοι προστρέχουσι, δι' ἧς εὐφημοῦμέν σε λέγοντες· αἰχμαλώτους λυτροῦσαι, θεραπεύεις νοσοῦντας, πενομένους πλουτίζεις, καὶ διασώζεις πλέοντας· μάταιον δρασμόν, ἐπέχεις οἰκετῶν· καὶ ζημίας φανέρωσιν ποιεῖς, τοῖς συλληφθεῖσιν Ἀθλητά· καὶ στρατιώτας παιδεύεις, τῆς ἁρπαγῆς ἀπέχεσθαι· νηπίοις χαρίζῃ συμπαθῶς τὰ αἰτήματα· θερμὸς εὑρίσκῃ προστάτης, τοῖς ἐπιτελοῦσί σου τὸ ἱερὸν μνημόσυνον· μεθ' ὧν καὶ ἡμῖν, Ἀθλητὰ ἱερώτατε, τοῖς ἀνυμνοῦσί σου τὸ Μαρτύριον, αἴτησαι παρὰ Χριστοῦ τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος β'.

Μεγάλα τὰ τῆς Πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ Ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο· πυρὶ γὰρ ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδύς, τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον Ἦχος β'.

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα, ἔνδον λαβὼν ἐν καρδίᾳ σου, τὰς ἐναντίας δυνάμεις κατεπάτησας πολύαθλε, καὶ στέφει οὐρανίῳ ἐστέφθης, αἰωνίως ὡς ἀήττητος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Ἁγιωσύνης δωρεά, καὶ πλοῦτος θείας ζωῆς, πεφανέρωσαι τῷ Κόσμῳ Θεόδωρε. Χριστὸς γάρ σου σοφὲ τὴν μνήμην ἐδόξασεν· ἐν ᾗ συμφώνως οἱ πιστοὶ γεγηθότες ὑμνοῦμεν, τοὺς ἀγῶνας τῶν ἄθλων σου.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος πλ. δ΄.

Ἀθλητικὴν ἀνδρείαν, εὐσεβῶς καθοπλισθεὶς, Ἀθλοφόρε Χριστοῦ, καὶ λογικὴν λατρείαν μυστικῶς ὑπερμαχῶν τῇ δυνάμει αὐτοῦ, τῶν εἰδώλων τὸ ἀσεβὲς, καὶ τῶν Τυράννων τὸ ἀπηνὲς, ἀσθενὲς ἀπέδειξας, καταφρονῶν τῶν βασάνων, καὶ τοῦ προσκαίρου πυρός· ἀλλ' ὦ θείων δωρεῶν καὶ πρᾶγμα καὶ ὄνομα, ἀπὸ πάσης περιστάσεως τῇ πρεσβείᾳ σου σῶζε, τοὺς τελοῦντας τὴν μνήμην σου.

ΕΙΣ ΤΗΝ ΚΔ΄. ΦΕΒΡΟΥΑΡΙΟΥ.

Ἡ Εὕρεσις τῆς Τιμίας Κεφαλῆς τοῦ Προδρόμου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄.

Θησαυρὸς ἐνθέων δωρεῶν, ἡ θεοφρούρητον Κάρα σου Πρόδρομε, ἐκ τῶν τῆς γῆς λαγόνων ἀνέτειλεν· ἣν ἡμεῖς πιστῶς ἀρυσάμενοι, καὶ προσκυνοῦντες ἔνδοξε, πλουτοῦμεν διὰ σοῦ, Χριστοῦ Βαπτιστὰ, θαυμάτων τὰ παράδοξα, καὶ τῶν πταισμάτων τὴν συγχώρησιν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος β΄.

Ἡ τῶν θείων ἐννοιῶν πανσεβάσμιος θήκη, καὶ τῆς ἀρρήτου οὐσίας, τρανῶς ἡ προβλέψασα, τὸ Μυστήριον Κάρα σου, ὡς ἐκ λαγόνων μητρικῶν, ἐκ τῶν ταμείων τῆς γῆς σήμερον ἀνατέταλκεν, Ἰωάννη Πανεύφημε, καὶ εὐωδίασε πᾶσαν τὴν ὑφήλιον, ἁγιασμὸν προχέουσα μῦρον, καὶ νοητῶς κηρύττουσα μετανοίας ὁδὸν, καὶ τῷ Σωτῆρι τῶν ὅλων πρεσβεύουσα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ἐκ γῆς ἀνατείλασα ἡ τοῦ Προδρόμου Κεφαλὴ, ἀκτῖνας ἀφίησι τῆς ἀφθαρσίας, πιστοῖς τῶν ἰάσεων· ἄνωθεν συναθροίζει, τὴν πληθὺν τῶν Ἀγγέλων κάτωθεν συγκαλεῖται, τῶν ἀνθρώπων τὸ Γένος, ὁμόφωνον ἀναπέμψαι, δόξαν Χριστῷ τῷ Θεῷ.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν Κάραν τὴν σὴν ὡς ῥόδον Ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν ὡς πρότερον, ἐν Κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Τὴν πανσεβάσμιον Κάραν, τοῦ Βαπτιστοῦ σου Κύριε, φανερωθεῖσαν σήμερον ἐκ γῆς, μετὰ φωνῆς αἰνέσεως, ἀρυσάμενοι πιστῶς, εἰς πρεσβείαν Φιλάνθρωπε, οἱ ἐπταικότες δοῦλοί σου, προσάγοντες αἰτούμεθα, δι' αὐτῆς ἐπιτυχεῖν ἐν ἡμέρᾳ Κρίσεως, παρὰ σοῦ τὸν ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον τῶν Αἴνων.

Δόξα. Ἦχος πλ. β'.

Ἡ πρώην ἐπὶ πίνακος, τὸ τοῦ Ἡρώδου ἄθεσμον μῖσος ἐλέγξασα, τὴν δὲ μετάνοιαν πᾶσι κηρύξασα πιστοῖς, τιμία Κεφαλὴ τοῦ Βαπτιστοῦ σου Κύριε, ἐκ τῶν ταμείων τῆς γῆς, ἀναφανεῖσα πρόκειται, τοῖς πιστῶς προσιοῦσιν αὐτῇ, καὶ ἁπτομένοις ἐν φόβῳ, καὶ προσκυνοῦσι πόθῳ ψυχῆς, βραβευομένη λύσιν πταισμάτων, τῶν αἰτημάτων παρέχει τὰ ἐπίπονα, καὶ τὸ μέγα ἔλεος.



ΜΑΡΤΙΟΣ.

ΕΙΣ ΤΗΝ Θ'. ΜΑΡΤΙΟΥ.

Τῶν Ἁγίων Μεγάλων Τεσσαράκοντα Μαρτύρων, τῶν ἐν τῇ Λίμνῃ Σεβαστείας Μαρτυρησάντων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος δ'. Ἰωάννου Μοναχοῦ.

Φέροντες τὰ παρόντα γενναίως, χαίροντες τοῖς ἐλπιζομένοις, πρὸς ἀλλήλους ἔλεγον οἱ Ἅγιοι Μάρτυρες· μὴ γὰρ ἱμάτιον ἀποδυόμεθα, ἀλλὰ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθέμεθα· δριμὺς ὁ χειμών, ἀλλὰ γλυκὺς ὁ Παράδεισος· ἀλγεινὴ ἡ πῆξις, ἀλλ' ἡδεῖα ἡ ἀπόλαυσις. Μὴ οὖν ἐκκλίνωμεν, ὦ Συστρατιῶται· μικρὸν ὑπομείνωμεν, ἵνα τοὺς στεφάνους τῆς νίκης ἀναδησώμεθα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα Ἦχος πλ. β'.

Ἐν ᾠδαῖς ᾀσμάτων εὐφημήσωμεν πιστοί, τοὺς Ἀθλοφόρους Τεσσαράκοντα Μάρτυρας, καὶ πρὸς αὐτοὺς μελῳδικῶς ἐκβοήσωμεν λέγοντες· Χαίρετε Ἀθλοφόροι τοῦ Χριστοῦ, Ἡσύχιε Μελίτων, Ἡράκλειε Σμάραγδε καὶ Δόμνε, Εὐνοϊκὲ Οὐάλη καὶ Βιβιανέ, Κλαύδιε καὶ Πρῖσκε· Χαίρετε Θεόδουλε Εὐτύχιε καὶ Ἰωάννη, Ξανθία Ἠλιανὲ Σισίνιε, Κυρίων Ἀγγία, Ἀέτιε καὶ Φλάβιε· Χαίρετε Ἀκάκιε, Ἐκδίκιε, Λυσίμαχε Ἀλέξανδρε, Ἠλία καὶ Γοργόνιε, Θεόφιλε Δομετιανέ, καὶ θεῖε Γαΐε, καὶ Γοργόνιε. Χαίρετε Εὐτυχὴ καὶ Ἀθανάσιε, Κύριλλε καὶ Σακερδών. Νικόλαε καὶ Οὐαλέριε, Φιλοκτῆμον Σεβηριανὲ καὶ Χουδίων· ὡς ἔχοντες παῤῥησίαν πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν, Μάρτυρες πανασίδιμοι, αὐτὸν ἐκτενῶς πρεσβεύσατε,

τοῦ σωθῆναι τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν πανσέβαστον μνήμην ὑμῶν.

Ἀπολυτίκιον. Ἦχος ά.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας ἴασαι, δεόμεθα φιλάνθρωπε.

Κοντάκιον. Ἦχος πλ. β'. Τὴν ὑπὲρ ἡμῶν.

Πᾶσαν στρατιὰν τοῦ Κόσμου καταλιπόντες, τῷ ἐν Οὐρανοῖς Δεσπότῃ προσεκολλήθητε, Ἀθλοφόροι Κυρίου Τεσσαράκοντα· διὰ πυρὸς γὰρ καὶ ὕδατος διελθόντες Μακάριοι, ἐπαξίως ἐκομίσασθε, δόξαν ἐκ τῶν Οὐρανῶν, καὶ Στεφάνων πληθύν.

Εἰς τοὺς Αἴνους. Δόξα, Ἦχος πλ. ά.

Ἀθλοφόροι Χριστοῦ τὴν πάνσεπτον νηστείαν φαιδροτέραν ἀπειργάσασθε, τῇ μνήμῃ τῆς ἐνδόξου ὑμῶν ἀθλήσεως. Τεσσαράκοντα γὰρ ὄντες, τὴν Τεσσαρακονθήμερον ἁγιάζετε, τὸ Σωτήριον Πάθος μιμησάμενος, τῆς ὑπὲρ Χριστοῦ ὑμῶν ἀθλήσεως. Διὸ ἔχοντες παῤῥησίαν πρεσβεύσατε, ἐν εἰρήνῃ καταντῆσαι ἡμᾶς, εἰς τὴν τριήμερον Ἀνάστασιν τȣ̃ Θεȣ̃, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΗΝ ΚΕ'. ΜΑΡΤΙΟΥ.

Ὁ Εὐαγγελισμὸς τῆς Ὑπερευλογημένης ἐνδόξȣ Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἰωάννου Μοναχοῦ. Ἦχος πλ. β'.

Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος, εὐαγγελίσασθαι τῇ Παρθένῳ τὴν Σύλληψιν· καὶ ἐλθὼν εἰς Ναζαρέτ, ἐλογίζετο ἐν ἑαυτῷ τὸ θαῦμα ἐκπληττόμενος, ὅτι πῶς ὁ ἐν ὑψίστοις ἀκατάληπτος ὢν, ἐκ Παρθένου τίκτεται· ὁ ἔχων θρόνον Οὐρανὸν, καὶ ὑποπόδιον τὴν γῆν, ἐν μήτρᾳ χωρεῖται γυναικός· ᾧ τὰ Ἑξαπτέρυγα καὶ Πολυόμματα ἀτενίσαι οὐ δύνανται, λόγῳ μόνῳ

ἐκ ταύτης σαρκωθῆναι ηὐδόκησε. Θεοῦ ἐστι λόγος ὁ παρών. Τί οὖν ἵσταμαι, καὶ οὐ λέγω τῇ Κόρῃ; Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· χαῖρε ἁγνὴ Παρθένε, χαῖρε Νύμφη ἀνύμφευτε· χαῖρε Μήτηρ τῆς ζωῆς, εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν.

Ἦχος δ'.

Σήμερον χαρᾶς Εὐαγγέλια, Παρθενικὴ πανήγυρις· τὰ κάτω τοῖς ἄνω συνάπτεται· ὁ Ἀδὰμ καινουργεῖται· ἡ Εὔα τῆς πρώτης λύπης ἐλευθεροῦται· καὶ ἡ σκηνὴ τῆς καθ' ἡμᾶς οὐσίας, τῇ θεώσει τοῦ προσληφθέντος φυράματος, Ναὸς Θεοῦ κεχρημάτικεν. Ὦ Μυστηρίου! ὁ τρόπος τῆς κενώσεως ἄγνωστος, ὁ τρόπος τῆς συλλήψεως ἄφραστος. Ἄγγελος λειτουργεῖ τῷ θαύματι· Παρθενικὴ γαστὴρ τὸν Υἱὸν ὑποδέχεται· Πνεῦμα Ἅγιον καταπέμπεται. Πατὴρ ἄνωθεν εὐδοκεῖ, καὶ τὸ συνάλλαγμα κατὰ κοινὴν πραγματεύεται βούλησιν· ἐν ᾧ, καὶ δι' οὗ σωθέντες, συνῳδὰ τῷ Γαβριὴλ πρὸς τὴν Παρθένον βοήσωμεν· Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ἐξ ἧς ἡ σωτηρία Χριστὸς ὁ Θεὸς ἡμῶν, τὴν καθ' ἡμᾶς προσλαβόμενος φύσιν, πρὸς ἑαυτὸν ἐπανήγαγεν. Αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις· ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε· ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι· Χαῖρε Νύμφη Ἀνύμφευτε.

Εἰς τοὺς Αἴνους. Δόξα καὶ νῦν. Ἦχος. β'.

Τὸ ἀπ' αἰῶνος Μυστήριον, ἀνακαλύπτεται σήμερον, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γίνεται· ἵνα τοῦ χείρονος μεταλαβὼν, μεταδῷ μοι τοῦ βελτίονος, ἐψεύσθη πάλαι Ἀδὰμ, καὶ Θεὸς ἐπιθυμήσας, οὐ γέγονεν. Ἄνθρωπος γίνεται Θεὸς, ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται· εὐφραινέσθω ἡ Κτίσις, χορευέτω ἡ φύσις· ὅτι Ἀρχάγγελος Παρθένῳ, μετὰ δέους παρίσταται, καὶ τὸ χαῖρε κομίζει, τῆς λυπης ἀντίθετον· ὁ διὰ σπλάγχνα ἐλέους, ἐνανθρωπήσας Θεὸς ἡμῶν δόξα σοι.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα.
Ἦχος πλ. δ'.

Εὐφραινέσθωσαν οἱ Οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ· ὁ γὰρ τοῦ Πατρὸς συναΐδιος Υἱὸς καὶ συνάναρχος καὶ σύνθρονος, οἶκτον λαβὼν, καὶ φιλάνθρωπον ἔλεον, ἑαυτὸν καθῆκεν εἰς κένωσιν, κατ' εὐδοκίαν καὶ βούλησιν Πατρικὴν, καὶ Μήτραν ᾤκησε Παρθενικὴν, προαγνισθεῖσαν τῷ Πνεύματι. Ὢ τοῦ θαύματος! ὁ Θεὸς ἐν ἀνθρώποις, ὁ ἀχώρητος ἐν μήτρᾳ, ὁ ἄχρονος ἐν χρόνῳ· καὶ τὸ παράδοξον, ὅτι καὶ ἡ σύλληψις ἄσπορος, καὶ ἡ κένωσις ἄφραστος, καὶ τὸ Μυστήριον ὅσον· ὁ Θεὸς γὰρ κενοῦται, καὶ σαρκοῦται, καὶ πλάττεται. Ἀγγέλου πρὸς τὴν Ἁγνὴν, τὴν σύλληψιν λέξαντος· Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.



ΑΠΡΙΛΙΟΣ.

ΕΙΣ ΤΗΝ Δ'. ΑΠΡΙΛΙΟΥ.

Τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ Ὑμνογράφου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ'.


Σοφίας ἐνδιαίτημα ἡ καρδία σου χρηματίσασα, Ἰωσὴφ παναοίδιμε, Ὕμνους Θεοπρεπεῖς ἐξηρεύξατο, καὶ κρουνοὺς θείων ᾀσμάτων, ὡς πηγὴ πνευματοκίνητος ἀφθόνως ἀνέβλυσεν· ἐξ ὧν ποτιζόμενοι τῆς Ἐκκλησίας οἱ τρόφιμοι, ἀξιοχρέως εὐφημοῦμέν σε, ἐν ὕμνοις ἱεροῖς, ὡς Θεόπνευστον καὶ Πνευματικὸν Ὑμνῳδὸν, καὶ πρεσβεύοντα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν Σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες, τὸ ὑπερορᾷν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὅσιε Ἰωσὴφ τὸ Πνεῦμά σου.

Κοντάκιον. Ἡ Παρθένος σήμερον. Ἦχος δ'.

Μυστικῶς εὐφραίνεται ἡ Βασιλεύουσα Πόλις, σὲ Παμμάκαρ βλέπουσα τὸν πρὶν Κοσμήτορα ταύτης, ᾄσμασι κεκοσμημένον· βοᾷ δ' ἀπαύστως· Πάρεσο, καὶ νῦν ὡς πάλαι πρός με Θεόφρον, ἀπαλλάττων με Βαρβάρων, ταῖς εὐπροσδέκτοις Θεῷ πρεσβείαις σου.



ΕΙΣ ΤΗΝ ΚΓ΄. ΑΠΡΙΛΙΟΥ.

Τοῦ Ἁγίου Ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄.

Ἀξίως τοῦ ὀνόματος, ἐπολιτεύσω στρατιῶτα Γεώργιε· τὸν Σταυρὸν γὰρ τοῦ Χριστοῦ, ἐπ᾽ ὤμων ἀράμενος, τὴν ἐκ διαβολικῆς πλάνης χερσωθεῖσαν γῆν ἐκαλλιέργησας, καὶ τὴν ἀκανθώδη θρησκείαν τῶν Εἰδώλων ἐκριζώσας, τῆς Ὀρθοδόξου Πίστεως κλῆμα κατεφύτευσας· ὅθεν βλυστάνεις ἰάματα, τοῖς ἐν πάσῃ τῇ Οἰκουμένῃ πιστοῖς, καὶ Τριάδος γεωργός, δίκαιος ἀνεδείχθης. Πρέσβευε δεόμεθα ὑπὲρ εἰρήνης τοῦ Κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος δ΄.

Τὸν νοερὸν ἀδάμαντα, τῆς καρτερίας ἀδελφοί, πνευματικῶς εὐφημήσωμεν, Γεώργιον τὸν ἀοίδιμον Μάρτυρα· ὃν ὑπὲρ Χριστοῦ πυρούμενον, ἐχάλκευσαν κίνδυνοι, καὶ ἐστόμωσαν βάσανοι, καὶ ποικίλαι κολάσεις ἀνήλωσαν, σῶμα τὸ φύσει φθειρόμενον· ἐνίκα γὰρ ὁ πόθος τὴν φύσιν, διὰ θανάτου πείθων τὸν ἐραστήν, διαβῆναι πρὸς τὸν ποθούμενον Χριστὸν τὸν Θεόν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ὡς τῶν αἰχμαλώτων ὁ ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, Βασιλέων ὑπέρμαχος, τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Γεωργηθεὶς ὑπὸ Θεοῦ ἀνεδείχθης, τῆς εὐσεβείας Γεωργὸς τιμιώτατος, τῶν ἀρετῶν τὰ δράγματα συλλέξας σεαυτῷ· σπείρας γὰρ ἐν δάκρυσιν, εὐφροσύνην θερίζεις· ἀθλήσας δὲ δι᾽ αἵματος, τὸν Χριστὸν ἐκομίσω·

καὶ ταῖς πρεσβείαις Ἅγιε ταῖς σαῖς, πᾶσι παρέχεις πταισμάτων συγχώρησιν.

Εἰς τοὺς Αἴνους.

Δόξα. Ἦχος πλ. ά.

Ἀνέτειλε τὸ ἔαρ, δεῦτε εὐωχηθῶμεν, ἐξέλαμψεν ἡ Ἀνάστασις Χριστοῦ, δεῦτε εὐφρανθῶμεν· ἡ τοῦ Ἀθλοφόρου μνήμη, τοὺς πιστοὺς φαιδρύνουσα ἀνεδείχθη· διὸ φιλέορτοι, δεῦτε μυστικῶς αὐτὴν πανηγυρίσωμεν· οὗτος γὰρ ὁ καλὸς στρατιώτης, ἠνδρίσατο κατὰ τῶν Τυράννων, καὶ τούτους κατήσχυνε, μιμητὴς γενόμενος τοῦ Πάθους τοῦ Σωτῆρος Χριστοῦ· οὐκ ἠλέησε τὸ σκεῦος τὸ πήλινον τὸ ἑαυτοῦ, ἀλλὰ γυμνὸν ἀνεχάλκευσεν, ἐν βασάνοις αὐτὸ προσαμειβόμενος. Αὐτῷ βοήσωμεν· Ἀθλοφόρε ἱκέτευε, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ ΚΕ΄. ΑΠΡΙΛΙΟΥ.

Τοῦ Ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Μάρκου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄.

Σοῦ ἐξεχύθη ἡ χάρις ἐν χείλεσι, Μάρκε Ἀπόστολε καὶ γέγονας ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Εἰς τὸν Στίχον. Δόξα, Ἦχος πλ. δ΄.

Δεῦτε τῆς οὐρανίου μυσταγωγίας τὸν κήρυκα, καὶ ὑποφήτην τοῦ Εὐαγγελίου, ψαλμοῖς καὶ ὑμνῳδίαις, Μάρκον πάντες εὐφημήσωμεν· οὗτος γὰρ ποταμὸς ἀνεδείχθη τοῦ νοητοῦ Παραδείσου, τὰς ψυχικὰς ἀρούρας τοῖς οὐρανίοις ὄμβροις ἐπάρδων, καὶ καρποφόρους δεικνύων Χριστῷ τῷ Θεῷ, τῷ παρέχοντι πᾶσι ταῖς πρεσβείαις αὐτοῦ, ἱλασμόν, καὶ τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος γ'.

Ἀπόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Λουκᾶ, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον. Τὰ ἄνω ζητῶν. Ἦχος β'.

Ἐξ ὕψους λαβὼν, τὴν χάριν τὴν τοῦ Πνεύματος, ῥητόρων πλοκὰς, διέλυσας Ἀπόστολε· καὶ τὰ ἔθνη πάντα σαγηνεύσας Μάρκε ἀοίδιμε, τῷ Δεσπότῃ προσήγαγες, τὸ θεῖον κηρύξας Εὐαγγέλιον.

Ἕτερον Κοντάκιον. Ἦχος β'.

Τοῦ Πέτρου δειχθεὶς, φυτεία θεοφύτευτος, καὶ Μάρτυς σεῤῥὸς, καὶ μύστης καὶ Ἀπόστολος, τοῦ Χριστȣ̃ δεικνύμενος, τῶν δογμάτων ἔβλυσας θάλασσαν, καὶ τὴν Οἰκȣμένην εὔφρανας, αἰτούμενος Μάρκε τȣ̃ σωθῆναι ἡμᾶς.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Σοῦ ἐξεχύθη ἡ χάρις ἐν χείλεσι, Μάρκε Ἀπόστολε· καὶ γέγονας ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

ΕΙΣ ΤΗΝ ΚΘ'. ΑΠΡΙΛΙΟΥ.

Τῶν Ἁγίων Ἐνδόξων, καὶ Πανευφήμων Ἀποστόλων Ἰάσωνος, καὶ Σωσιπάτρου, καὶ τῆς Ἁγίας Ἐνδόξȣ Παρθενομάρτυρος Κερκύρας τῆς Βασιλίδος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'.

Τοὺς Θεοπνεύστους Ποιμένας, καὶ παρ' ἡμῖν τῆς Θεογνωσίας Πρωτοκήρυκας, τοὺς φερωνύμους Ἰατῆρας καὶ τῇ Πατρίδι Σωτῆρας εὐχαρίστως μακαρίσωμεν, Ἰάσωνα πιστοὶ καὶ Σωσίπατρον· τοὺς τῆς πολυθείας ἀναιρέτας, καὶ θεοφθόγγους τοῦ Πνεύματος σάλπιγγας· τοὺς Μωσαϊκῇ τῇ δυνάμει ὡς Φαραὼ τὸν πάλαι, ὑποβρύχιον πιστοῖς τὸν τυραννοῦντα ἀναδείξαντας· τοὺς ὄντως ἡμῖν

προορισθέντας προστάτας, ὡς ἐν ὕδασι Θείοις ἡμᾶς ἀνακαινίσαντας· τοὺς ὑπὲρ Κερκύρας σὺν Κερκύρᾳ ἀδιαλείπτως πρεσβεύοντας, τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος γ'.

Ἀπόστολοι Ἅγιοι Ἰάσων, καὶ Σωσίπατρε σὺν τῇ Κερκύρᾳ, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον. Χειρόγραφον εἰκόνα. Ἦχος β'.

Τοῖς δόγμασι τοῦ Παύλου καταυγασθέντες, γεγόνατε Φωστῆρες τῆς Οἰκουμένης τρισμακάριοι· καταυγάζετε γὰρ ἀεὶ Κόσμου θαύμασιν, Ἰάσων ἡ πηγὴ τῶν ἰαμάτων, Σωσίπατρε Χριστοῦ Μαρτύρων κλέος, Ἀπόστολοι Θεοφόροι, προστάται τῶν ἐν ἀνάγκαις, καθικετεύσατε Θεῷ τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ Λ'. ΑΠΡΙΛΙΟΥ.

Τοῦ Ἁγίου Ἀποστόλου Ἰακώβου, Ἀδελφοῦ Ἰωάννου τοῦ Θεολόγου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Πρῶτος Πανεύφημε τῆς Θεολέκτου δωδεκάδος, θάνατος ἐν μαχαίρᾳ ὑπὸ Ἡρώδου, διὰ τὸν Διδάσκαλον ὑπέμεινας· πρῶτος τὸ ποτήριον αὐτοῦ, ὡς ὑπέσχου ἔπιες· ὅθεν τῆς Βασιλείας συγκληρονόμον προσήκατο ὁ φιλάνθρωπος, σὺν τῷ συγγόνῳ πρεσβεύοντας, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος α'.

Ἀπόστολε καὶ Μάρτυς Ἰάκωβε, τοῦ καλοῦ Ποιμένος τὸ θεόλεκτον πρόβατον, τῷ ὁμαίμονι ἐν ὑψίστοις συναγαλλόμενος, αἴτησαι τοῖς ἑορτάζουσι τὸ σεπτόν σου μνημόσυνον, ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος γ'.

Ἀπόστολε Ἅγιε Ἰάκωβε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Φωνῆς θεϊκῆς, ἀκούσας προσκαλούσης σε, ἀγάπην Πατρὸς, παρεῖδες καὶ προσέδραμες, τῷ Χριστῷ Ἰάκωβε, μετὰ καὶ τοῦ συγγενοῦς σου ἔνδοξε, μεθ' οὗ καὶ ἠξιώθης ἰδεῖν, Κυρίου τὴν θείαν Μεταμόρφωσιν.

ΜΑΓΟΣ.

ΕΙΣ ΤΗΝ Β'. ΜΑΓΟΥ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀθανασίου τοῦ Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Χριστοῦ τὸν Ἱεράρχην ὑμνήσωμεν ἅπαντες Ἀθανάσιον· ὅτι Ἀρείου τὰ δόγματα πάντα κατήργησε, καὶ τῆς Ἁγίας Τριάδος τὸ κράτος, εἰς πάντα Κόσμον τρανῶς καταγγέλλει, ἕνα Θεὸν ἐν τρισὶ προσώποις ἀμέριστον· ᾧ καὶ πρεσβεύει ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τελούντων τὴν μνήμην αὐτοῦ.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος γ'.

Πάλιν ἡμῖν ὁ χρυσοῤῥόας Νεῖλος, καὶ τῆς Ἀθανασίας ἐπώνυμος, διὰ τῆς ἐτησίου μνήμης ἐπιδημῶν, ταῖς καλαῖς ἀναβάσεσι, πλημμυρεῖ τὰ χρυσοῤῥειθρα, τῆς ἀθανασίας χεύματα· καὶ τροφὴν ἀμβροσίας καρποδοτῶν, διὰ τῆς ὑψηλῆς Θεολογίας, Τριάδος ἀδιαίρετον κράτος, ἐκδιδάσκει προσκυνεῖν· καὶ πελαγίζων τὰ θεῖα διδάγματα, τῶν πιστῶν καταρδεύει τὰς διανοίας, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος γ'.

Στῦλος γέγονας Ὀρθοδοξίας, θείοις δόγμασιν ὑποστηρίζων, τὴν Ἐκκλησίαν Ἱεράρχα Ἀθανάσιε· τῷ γὰρ Πατρὶ τὸν Υἱὸν ὁμοούσιον, ἀνακηρύξας κατῄσχυνας Ἀ-

ρειον. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἦχος β'.

Ὀρθοδοξίας φυτεύσας τὰ δόγματα, κακοδοξίας ἀκάνθας ἐξέτεμες, πληθύνας τὸν σπόρον τῆς Πίστεως, τῇ ἐπομβρίᾳ τοῦ Πνεύματος Ὅσιε· διό σε ὑμνοῦμεν Ἀθανάσιε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος γ'.

Τὸ μέγα κλέος τῶν Ἱερέων, Ἀθανάσιον τὸν ἀήττητον ἀριστέα, ἱεροπρεπῶς εὐφημήσωμεν· οὗτος γὰρ τῶν αἱρέσεων συγκόψας τὰς φάλαγγας, τῇ δυνάμει τοῦ Πνεύματος, τὰ τῆς Ὀρθοδοξίας τρόπαια, ἀνεστήσατο καθ' ὅλης τῆς Οἰκουμένης, ἀριθμῶν εὐσεβῶς τὸ τῆς Τριάδος Μυστήριον, διὰ τὴν τῶν προσώπων ἰδιότητα· καὶ πάλιν συνάπτων ἀσυγχύτως εἰς ἓν, διὰ τὴν τῆς οὐσίας ταυτότητα· καὶ Χερουβικῶς θεολογῶν, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΗΝ Η'. ΜΑΙΟΥ.

Τοῦ Ἁγίου ἐνδόξου καὶ Πανευφήμου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'.

Τὸν Υἱὸν τῆς βροντῆς, τὸν θεμέλιον τῶν θείων λόγων, τὸν ἀρχηγὸν τῆς Θεολογίας, καὶ κήρυκα πρώτιστον, τῆς ἀληθοῦς δογμάτων Θεοῦ Σοφίας, τὸν ἠγαπημένον Ἰωάννην καὶ Παρθένον, μερόπων γένος καταχρέως εὐφημήσωμεν. Οὗτος γὰρ ἄληκτον ἔχων τὸ θεῖον ἐν ἑαυτῷ, τὸ ἐν Ἀρχῇ μὲν ἔφησε τοῦ Λόγου, αὖθίς τε τὸ πρὸς τὸν Πατέρα ἀχώριστον, καὶ τὸ ἴσον μετὰ ταῦτα τῆς τοῦ Πατρὸς οὐσίας, δεικνύων ἡμῖν δι' αὐτοῦ, τὴν Ὀρθοδοξίαν τῆς Ἁγίας Τριάδος· δημιουργόν τε ὄντα σὺν τῷ Πατρὶ, ζωὴν φέροντα καὶ φῶς ἀληθινὸν, τὸν αὐτὸν

ἔδειξεν ἡμῖν· ὢ θαύματος ἐκστατικοῦ, καὶ πράγματος σοφιστικοῦ· ὅτι πλήρης ὢν τῆς ἀγάπης, πλήρης γέγονε καὶ τῆς Θεολογίας· δόξῃ καὶ τιμῇ καὶ πίστει, θέμεθλος ὑπάρχων, τῆς ἀκραιφνοῦς ἡμῶν Πίστεως, δι' ἧς τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν τῇ ἡμέρα τῆς Κρίσεως.

Εἰς τὸν Στίχον. Δόξα. Ἰωάννȣ Μοναχȣ̃. Ἦχος πλ. β'.

Ἀπόστολε Χριστοῦ, Εὐαγγελιστὰ Θεολόγε, τῶν ἀποῤῥήτων Μύστης γενόμενος, τῆς σοφίας τὰ ἀπόῤῥητα, ἡμῖν ἐβρόντησας δόγματα· τὸ ἐν Ἀρχῇ ἦν τρανώσας τοῖς πιστοῖς, καὶ τὸ οὐκ ἦν ἀποβαλὼν, τῶν αἱρετιζόντων ἀπεκρούσω τοὺς λόγους· ἐπιστήθιος φανεὶς, καὶ φίλος ἠγαπημένος, ὡς Ἠσαΐας ὁ μεγαλοφωνότατος, καὶ Μωσῆς ὁ Θεόπτης· παῤῥησίαν ἔχων πρὸς Θεὸν, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος β'.

Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον, ῥῦσαι λαὸν ἀναπολόγητον· δέχεταί σε προσπίπτοντα ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος· ὃν ἱκέτευε Θεολόγε, καὶ ἐπίμονον νέφος Ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἦχος β'.

Τὰ μεγαλεῖά σου Παρθένε, τίς διηγήσεται; βρύεις γὰρ θαύματα, καὶ πηγάζεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς Θεολόγος καὶ φίλος Χριστοῦ.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Εὐαγγελιστὰ Ἰωάννη, Ἰσάγγελε Παρθένε Θεοδίδακτε, ὀρθοδόξως τῷ Κόσμῳ, τὴν ἄχραντον πλευρὰν, τὸ αἷμα καὶ τὸ ὕδωρ βλύζουσαν ἐκήρυξας· ἐν ᾧ τὴν αἰώνιον ζωὴν πορίζόμεθα ταῖς ψυχαῖς ἡμῶν.



ΕΙΣ ΤΗΝ Ι'. ΜΑΓΟΥ.

Τοῦ Ἁγίου Ἀποστόλου Σίμωνος τοῦ Ζηλωτοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'.

Ζήλου ἐπώνυμος κληθείς, Σίμων ἀξιάγαστε, ζηλῶν ἐζήλωσας Θεῷ τῷ παντοκράτορι, καὶ θείων σε θαυμάτων ἔμπλεων ἀνέδειξε· ξένον γὰρ τὸν ζῆλον ἔχων, φερωνύμως ζηλωτὴς Μακάριε ἐκλήθης, καὶ τῷ τρόπῳ τὴν κλῆσιν σύμφωνον ἐκτήσω· διὸ ὑψηλὸς ὑπάρχων ἐν μεταρσίοις χοροῖς σκηνούμενος, πρέσβευε θεόπτα, τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ ἡμῶν, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Τὴν Κτίσιν ὡς ἀετὸς ὑψιπέτης διῆλθες, Σίμων ἱερώτατε, μαθητὰ τοῦ Σωτῆρος καὶ Ἀπόστολε, καὶ τὴν πλάνην τῶν εἰδώλων τοῖς πυριφθόγγοις σου δόγμασιν, ὡς ὕλην πᾶσαν καταφλέξας, τὰ ἔθνη ἐξ ἀγνωσίας βυθοῦ, πρὸς τὴν θείαν γνῶσιν μετήγαγες· καὶ νῦν πρέσβευε Χριστῷ, ὅπως ἵλεως γενήσηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Ἀπολυτίκιον. Ἦχος γ'.

Ἀπόστολε Ἅγιε Σίμων, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον. Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Τὸν ἀσφαλῶς τὰ τῆς σοφίας δόγματα, ἐν ταῖς ψυχαῖς τῶν εὐσεβούντων θέμενον, ἐν αἰνέσει μακαρίσωμεν, τὸν Θεηγόρον πάντες Σίμωνα· τῷ θρόνῳ γὰρ τῆς δόξης νῦν παρίσταται, καὶ σὺν τοῖς Ἀσωμάτοις ἐπαγάλλεται, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος α'.

Μαθητὰ τοῦ Σωτῆρος, καὶ Ἀπόστολε Σίμων Ζηλωτὰ πανένδοξε, ἡμῶν δὲ πολιοῦχε, καὶ τῆς Οἰκουμένης κήρυξ διαπρύσιε, πρέσβευε ἐκτενῶς, ῥυσθῆναι ἡμᾶς ἐκ κινδύνων, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ ΙΕ΄. ΜΑΓΟΥ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀχιλλείου Ἀρχιεπισκόπου Λαρίσσης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄.

Πατέρων θείων χορός, Πνεύματι Ἁγίῳ συγκροτηθείς, τὴν Ἀρείου μανίαν ἐμφρόνως κατῄσχυνε· τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν ὑπὲρ ἡμῶν ἀτρέπτως σαρκωθέντα, καὶ τοῦ Προπάτορος τὴν πληγὴν ἰασάμενον, ἀφρόνως οὗτος τοῖς κτίσμασι κατάγων ἐδογμάτιζεν· ἀλλ᾽ οὕτω φρονῶν ὁ δυσσεβὴς κατῃσχύνθη· διὸ μὴ φέρων ἀντιβλέπειν παρὰ τὴν τῶν λόγων ἀλήθειαν, τὰς ὄψεις ἠμαυρώθη, διχῶς διαρραγείς, τὴν ἴσην τοῦ Προδότου ὑποστὰς ῥῆξιν, εὐχῆς ἔργον γενόμενος· σὺ δὲ παμμάκαρ Ἀχίλλειε, πρόμαχος τοῖς πιστοῖς σωτήριος φανείς, καλῶς ὑπὲρ τῆς ἀληθείας ἐδείχθης ἀγωνισάμενος· διὸ τοῖς μετὰ Πίστεως τιμῶσί σου τὸ μνημόσυνον, αἴτησαι ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος γ΄.

Τῶν Λαρισσαίων φωστήρ, καὶ τῆς πλάνης Ἀχίλλειε καθαιρέτα· σὺ γὰρ ὡς ποιμὴν ἀληθινός, τὸν καύσωνα τῆς ἡμέρας φρονίμως ἐβάστασας, καὶ τὸν παγετὸν ὑπήνεγκας τῆς νυκτός· καὶ νῦν ἐν Οὐρανοῖς τὸ δηνάριον ἀπείληφας σῷον· χαίροις τῆς πολυφώτου Ἱερωσύνης τὸ ἀκράδαντον ἔρεισμα, καὶ ἀκλόνητος τῆς Πίστεως στύλος· χαίροις πλανωμένων ὁδηγέ, καὶ τῶν ἐν πάθεσι πεπτωκότων ἀνόρθωσις, καὶ παράκλησις τῶν χειμαζομένων· χαίροις ὁ τὴν μανίαν Ἀρείου ἀνδρικῶς καταβαλών, καὶ συναΐδιον τῷ Πατρὶ τὸν Υἱὸν δογματίζων, δόκιμος τοῖς Ἱεροῖς ἀνεφάνης Πατράσι, καὶ τῶν Ὀρθοδόξων ὑπέρμαχος· καὶ νῦν τῷ θρόνῳ τῆς μονοσέπτου παρεστὼς Τριάδος, πρέσβευε ὑπὲρ ἡμῶν Πάτερ ἁγιώτατε.

Ἀπολυτίκιον. Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας Διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλὰ, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Ἀχίλλειε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Τῇ ὑπερμάχῳ. Ἦχος πλ. δ'.

Τῆς Οἰκουμένης τὸν ἀστέρα τὸν ἀνέσπερον, καὶ Λαρισσαίων τὸν Ποιμένα τὸν ἀκοίμητον, Ἀχίλλειον ἀνυμνήσωμεν ἐκβοῶντες· παῤῥησίαν κεκτημένος πρὸς τὸν Κύριον, ἐκ παντοίας τρικυμίας ἡμᾶς λύτρωσαι, ἵνα κράζωμεν· Χαίροις Πάτερ Ἀχίλλειε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος ά.

Χερσωμανοῦσαν τὴν γῆν Λαρίσσης, ταῖς ἐκφύλοις Αἱρέσεως, τῷ ἀρότρῳ τῆς σῆς ὀρθῆς διδασκαλίας, ταύτην ἀπεκάθηρας Ἀχίλλειε, τέμνων αὐτῆς τὰς ἀκάνθας, καὶ πανσόφως κατακαίων τὰ νόθα ζιζάνια· θεῖον δὲ σπόρον καὶ οὐράνιον καταβαλὼν τοῦ ποιμνίου ταῖς αὔλαξιν, εὐαγγελικῶς εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, ἐν χαρᾷ συγκομίζων τῶν σῶν πόνων τὰ δράγματα.

ΕΙΣ ΤΗΝ ΚΑ'. ΜΑΙΟΥ.

Τῶν Ἁγίων ἐνδόξων Μεγάλων Βασιλέων καὶ Ἰσαποστόλων, Κωνσταντίνου, καὶ Ἑλένης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'. Βυζαντίου.

Πλουσίων δωρεῶν τὰ κρείττονα εἰληφὼς παρὰ Θεοῦ, Ἄναξ κράτιστε, Κωνσταντῖνε μέγιστε, καλῶς ἐν τούτοις διέπρεψας· καταυγασθεὶς γὰρ ἀκτῖσι τοῦ Παναγίου Πνεύματος, ὑπὸ Σιλβέστρου Ἱερέως, διὰ τοῦ Βαπτίσματος, ἐν Βασιλεῦσιν ὤφθης ἀήττητος, τὴν Οἰκουμένην ὡς προῖκα, προικοδοτήσας τῷ Κτίστῃ σου, καὶ Πόλιν Βασιλεύουσαν θεοσεβῆ· διὸ ἱκετεύων μὴ παύσῃ Χριστῷ

τῷ Θεῷ δωρηθῆναι ἅπασι τοῖς τελοῦσι τὴν μνήμην σου, ὡς παῤῥησίαν ἔχων ἁμαρτιῶν συγχώρησιν καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Σέλας φαεινότατον, κομήτης ἑσπερώτατος, ἐξ ἀπιστίας εἰς πίστιν Θεότητος παροχευθεὶς, ἤχθης ἁγιάσαι λαὸν καὶ πόλιν· καὶ τύπον Σταυροῦ ἐν Οὐρανῷ κατοπτεύσας ἤκουσας ἐκεῖθεν. Ἐν τούτῳ νίκα τοὺς ἐχθρούς σου· ὅθεν δεξάμενος τὴν γνῶσιν τοῦ Πνεύματος, Ἱερεὺς χρηματισθεὶς καὶ Βασιλεὺς, ἐλαίῳ ἐστήριξας τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. Ὀρθοδόξων Βασιλέων Πατὴρ, οὗ καὶ ἡ λάρναξ ἰάσεις βρύει, Κωνσταντῖνε Ἰσαπόστολε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Τοῦ Σταυροῦ σου τὸν τύπον ἐν Οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν Βασιλεῦσιν Ἀπόστολός σου Κύριε, Βασιλεύουσαν Πόλιν τῇ χειρί σου παρέθετο· ἣν περίσωζε διὰ παντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

Κοντάκιον. Ἡ Παρθένος σήμερον. Ἦχος γ'.

Κωνσταντῖνος σήμερον, σὺν τῇ Μητρὶ τῇ Ἑλένῃ, τὸν Σταυρὸν ἐμφαίνουσι, τὸ πανσεβάσμιον Ξύλον· πάντων μὲν τῶν Ἰουδαίων αἰσχύνην ὄντα, ὅπλον δὲ κατ' ἐναντίων πιστῶν Ἀνάκτων· δι' ἡμᾶς γὰρ ἀνεδείχθη σημεῖον μέγα, καὶ ἐν πολέμοις φρικτόν.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Ὁ τῶν ἀνάκτων Ἄναξ καὶ Θεὸς, ὁ πλουσίαις δωρεαῖς κατακοσμῶν τοὺς ἀξίους, αὐτὸς οὐρανόθεν ὥσπερ Παῦλον τὸν ἀοίδιμον, διὰ σημείου τοῦ Σταυροῦ σὲ Κωνσταντῖνε ἐζώγρησεν, ἐν τούτῳ φήσας νίκα τοὺς ἐχθρούς σου· ὃν ἀναζητήσας σὺν Μητρὶ Θεόφρονι καὶ εὑρὼν ὡς ἐπόθεις, τούτους κατὰ κράτος ἐτροπώσω. Σὺν αὐτῇ οὖν ἱκέτευε, ὑπὲρ Ὀρθοδόξων Βασιλέων, καὶ τοῦ Φιλοχρίστου Στρατοῦ, καὶ πάντων τῶν τὴν μνήμην σου τελούντων πιστῶς, τὸν μόνον φιλάνθρωπον, λυτρωθῆναι πάσης ὀργῆς.

ΕΙΣ ΤΗΝ ΚΔ΄. ΜΑΓΟΥ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Συμεὼν τοῦ ἐν τῷ Θαυμαστῷ Ὄρει.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β΄. Γερμανοῦ.

Εἰς ὄρος ὑψηλὸν συμβολικῶς, τὸ Θαυμαστὸν ἀνελθὼν, καὶ τὴν σεπτὴν κιβωτὸν ὡς ἄδυτον ὑπελθὼν, πρᾶξιν ἀρίστην, καὶ ἐπίβασιν θεωριῶν ἐπεδείξω· τῇ μὲν, τὸν βίον λαμπρύνας δεσμοῖς σιδηροῖς, ὡς ὁρμίσκοις χρυσοῖς κοσμούμενος· τῇ δὲ, Θεὸν ὁρῶν τε καὶ ὁρώμενος, καὶ μόνος μόνῳ προσλαλῶν· ὃν ἱκέτευε σεβάσμιε Συμεὼν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος ά.

Ὑπομονῆς στύλος γέγονας, ζηλώσας τοὺς προπάτορας Ὅσιε, τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν ἐκτήσω ἐν σώματι. Συμεὼν Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὰ ἄνω ποθῶν, τῶν κάτω μεθιστάμενος, καὶ ἄλλον Οὐρανὸν, τὸν Στύλον τεκτηνάμενος, δι' αὐτοῦ ἀπήστραψας, τῶν θαυμάτων τῇ αἴγλῃ Ὅσιε, καὶ Χριστὸν τὸν πάντων Θεὸν, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

ΕΙΣ ΤΗΝ ΚΕ΄. ΜΑΓΟΥ.

Ἡ Τρίτη Εὕρεσις τῆς τιμίας Κεφαλῆς τοῦ Ἁγίου ἐνδόξου Προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄.

Θησαυρὸς ἐνθέων δωρεῶν, ἡ θεοφρούρητος Κάρα σου Πρόδρομε, ἐκ τῶν τῆς γῆς λαγόνων ἀνέτειλεν· ἣν

ἡμεῖς πιστῶς ἀρυσάμενοι, καὶ προσκυνοῦντες ἔνδοξε, πλουτοῦμεν διὰ σοῦ, Χριστοῦ Βαπτιστά, θαυμάτων τὰ παράδοξα, καὶ τῶν πταισμάτων τὴν συγχώρησιν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος β'.

Η τῶν θείων ἐννοιῶν πανσεβάσμιος θήκη, καὶ τῆς ἀῤῥήτου οὐσίας, τρανῶς ἡ προβλέψασα, τὸ Μυστήριον Κάρα σου, ὡς ἐκ λαγόνων μητρικῶν, ἐκ τῶν ταμείων τῆς γῆς σήμερον ἀνατέταλκεν, Ἰωάννη Πανεύφημε, καὶ εὐωδίασε πᾶσαν τὴν ὑφήλιον, ἁγιασμοῦ προχέουσα μῦρον, καὶ νοητῶς κηρύττουσα μετανοίας ὁδὸν, καὶ τῷ Σωτῆρι τῶν ὅλων πρεσβεύουσα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ὡς θεῖον θησαύρισμα, ἐγκεκρυμμένον τῇ γῇ, Χριστὸς ἀπεκάλυψε, τὴν Κεφαλήν σου ἡμῖν, Προφῆτα καὶ Πρόδρομε. Πάντες οὖν συνελθόντες, ἐν τῇ ταύτης εὑρέσει, ᾄσμασι θεηγόροις, τὸν Σωτῆρα ὑμνοῦμεν, τὸν σώζοντα ἡμᾶς ἐκ φθορᾶς ταῖς ἱκεσίαις σου.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν Κάραν τὴν σὴν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν ὡς πρότερον, ἐν Κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Τὴν πανσεβάσμιον Κάραν τοῦ Βαπτιστοῦ σου Κύριε, φανερωθεῖσαν σήμερον ἐκ γῆς μετὰ φωνῆς αἰνέσεως, ἀρυσάμενοι πιστῶς, εἰς πρεσβείαν φιλάνθρωπε, οἱ ἐπταικότες δοῦλοί σου προσάγομεν, αἰτούμενοι δι' αὐτῆς ἀπολαβεῖν, ἐν ἡμέρᾳ Κρίσεως, παρὰ σοῦ τὸν ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.



ΙΟΥΝΙΟΣ.

ΕΙΣ ΤΗΝ ΙΑ΄. ΙΟΥΝΙΟΥ.

Τῶν Ἁγίων Ἀποστόλων Βαρθολομαίου, καὶ Βαρνάβα.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄. Βυζαντίου.

Βαρνάβα Πανεύφημε, τὸ ἐξαστράπτον κειμήλιον τοῦ Ἁγίου Πνεύματος, ὡς Υἱὸς παρακλήσεως, ὁ καὶ πρὸ Παύλου τῶν Ἑβδομήκοντα Μαθητῶν γενόμενος κορυφή, καὶ μετὰ Παύλου πάλιν τὸ Εὐαγγέλιον κηρύξας τοῖς πέρασιν· ὅθεν καὶ τῆς χάριτος τὸν λόγον, δι' ἔργων πληρώσας, σεαυτὸν προσήνεγκας ὁλοκάρπωμα καθαρόν, τῷ Διδασκάλῳ σου Χριστῷ· πρέσβευε διὰ παντός, Ἀπόστολε ἔνδοξε, ἐν εἰρήνῃ σώζεσθαι, τὰς ψυχὰς ἡμῶν δεόμεθα.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ΄.

Ἀπόστολε τοῦ Σωτῆρος, Βαρνάβα Πανεύφημε, τὸ δοχεῖον τῆς Πίστεως, Υἱὲ παρακλήσεως, ἡ γαλήνη τῶν χειμαζομένων, ἀπαύστως ἐν τῇ μνήμῃ σου, παῤῥησίαν ἔχων ἱκέτευε, ἐν εἰρήνῃ φυλαχθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος γ΄.

Ἀπόστολοι Ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον, τοῦ Ἁγίου Βαρθολομαίου. Ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

Ὤφθης μέγας Ἥλιος τῆς Ἐκκλησίας, διδαγμάτων λάμψεσι, καὶ θαυμασίων φοβερῶν, φωταγωγῶν τοὺς τιμῶντάς σε, Βαρθολομαῖε Κυρίου Ἀπόστολε.

Κοντάκιον, τοῦ Ἁγίου Βαρνάβα. Ἦχος δ΄.

Τοῦ νόμου τὴν σκιάν, σὺ λιπὼν ὡς ἐχέφρων, τῇ χάριτι φοιτᾷς, Θεοφόρε Βαρνάβα, κατὰ πόλιν καὶ χώ-

ραν, τοῦ σταυρωθέντος φέρων τὸ ὄνομα, θαύμασι καὶ σημείοις, τοὺς ἀπειθοῦντας πρὸς τὴν ἀμάθειαν, καθοδηγήσας ὤφθης ἐν Χριστῷ, τοῦ Κόσμου παράκλησις.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. ά.

Ἡ Σοφία τοῦ Θεοῦ, ὁ συναΐδιος Λόγος τοῦ Πατρὸς, καθὼς ἐν Εὐαγγελίοις προέφη, τὰ εὔφορα κλήματα, ὑμεῖς ἐστὲ Πανεύφημοι Ἀπόστολοι, οἱ τὸν βότρυν τὸν πέπειρον καὶ τερπνὸν, ἐν τοῖς κλάδοις ὑμῶν φέροντες· ὃν οἱ πιστοὶ ἐσθίοντες, ἐπιστιχοῦμεν νεῦσιν πρὸς εὐφρόσυνον. Βαρθολομαῖε θεόληπτε, καὶ Βαρνάβα Υἱὲ παρακλήσεως, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΗΝ ΙΒ'. ΙΟΥΝΙΟΥ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ὀνουφρίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς Οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας· παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεὸν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν, Ὀνούφριε Πατὴρ ἡμῶν· διὰ γάρ σου τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν. Μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, Ἀγγέλων συνόμιλε, Δικαίων ὁμόσκηνε, καὶ Ὁσίων· μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος ά.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι Ἄγγελος, καὶ Θαυματουργὸς ἀνεδείχθης, Θεοφόρε Πατὴρ ἡμῶν Ὀνούφριε· νηστείᾳ ἀγρυπνίᾳ προσευχῇ, οὐράνια χαρίσματα

λαβὼν, θεραπεύεις τοὺς νοσοῦντας καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν. Δόξα τῷ σὲ στεφανώσαντι. Δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον. Πίστιν Χριστοῦ ὡσεὶ θώρακα.
Ἦχος πλ. δ'.

Φῶς θεϊκὸν προσλαβόμενος, πῦρ νοητὸν ἐν καρδίᾳ σου, κατασκηνώσας Χριστὸς, σὲ κατελάμπρυνεν Ὀνοῦφριε, καὶ χάριν οὐρανόθεν, ἐδέξω Μακάριε ὡς ἀήττητος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος β'.

Ἐζήτησας Θεοφόρε, τοῦ θεωρεῖν τοῦ Κυρίου τὴν τερπνότητα, καὶ μόνος αὐτῷ μόνῳ, προσομιλεῖν ἐπεπόθησας· ὅθεν Κόσμον κατέλιπες φυγαδεύων καὶ διαιτώμενος, ἐν ἐρήμοις καὶ ὄρεσι, καὶ τὸν Χριστὸν ἐνδεδυμένος, χιτῶνος οὐκ ἐφρόντιζες, τῆς ἀφθαρσίας χιτῶνα σεαυτῷ ἐμπορευόμενος· μεθ' οὗ εἰσῆλθες εἰς τὸν οὐράνιον νυμφῶνα, αἰωνίων ἀγαλλόμενος, Ὀνοῦφριε Ὅσιε.

ΕΙΣ ΤΗΝ ΙΘ'. ΙΟΥΝΙΟΥ.

Τοῦ Ἁγίου Ἀποστόλου, Ἰούδα Ἀδελφοῦ τοῦ Κυρίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Ἰούδα, οἱ ἀδελφοί σου σὲ ἐπαινέσουσιν, ἀδελφὸν φανέντα Λόγου τοῦ πρὸ αἰώνων, ἐξ ἀϊδίου ἀναλάμψαντος τοῦ Γεννήτορος, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἀφράστως σαρκωθέντος, ἐκ τῆς Ἁγίας Παρθένου, καὶ ἐνανθρωπήσαντος· ὃν Ἀπόστολε ἐκτενῶς ἱκέτευε, δωρηθῆναι εἰρήνην τῷ Κόσμῳ, καὶ ἡμῖν τοῖς τιμῶσί σε, τῶν πταισμάτων ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος γ.

Ἀπόστολε Ἅγιε Ἰούδα, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον. Ἦχος α'. Χορὸς Ἀγγελικός.

Ἐκ ῥίζης εὐκλεοῦς, θεοδώρητον κλῆμα, ἀνέτειλας ἡμῖν, τοῦ Κυρίου αὐτόπτα. Ἀπόστολε Θεάδελφε, τοῦ Χριστοῦ κήρυξ πάνσοφε, τρέφων ἅπαντα, Κόσμον καρποῖς σου τῶν λόγων, τὴν Ὀρθόδοξον, Πίστιν Κυρίȣ παμμάκαρ, καὶ μύστα τῆς χάριτος.

ΕΙΣ ΤΗΝ ΚΔ'. ΙΟΥΝΙΟΥ.

Γενέσιον τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Βύζαντος.

Σήμερον τοῦ φωτὸς ὁ λύχνος, προοδοποιεῖται τὴν ἔλευσιν Θεοῦ τοῦ Λόγου, ὡς ἀστὴρ φαεινός· σήμερον Ζαχαρίας γλῶτταν ἐτράνωσε, σιωπὴν ἐξασκήσας Ἀγγέλου προστάξαντος· ἔπρεπε γὰρ οὕτω τὸν Πατέρα τῆς φωνῆς, μὴ σιωπὴν φυλάττειν, προελθούσης ἐκ γαστρὸς στειρωτικῆς· καὶ παντὸς τοῦ Κόσμου τὴν λύτρωσιν, εὐαγγελιζομένου ἐν παρρησίᾳ πολλῇ.

Καὶ νῦν. Ὁ αὐτός.

Ἡ Ἐλισάβετ συνέλαβε τὸν Πρόδρομον τῆς χάριτος, ἡ δὲ Παρθένος τὸν Κύριον τῆς δόξης· ἠσπάσαντο ἀλλήλαις αἱ Μητέρες, καὶ τὸ βρέφος ἐσκίρτησεν· ἔνδοθεν γὰρ ὁ δοῦλος ᾔνει τὸν Δεσπότην· θαυμάσασα ἡ Μήτηρ τοῦ Προδρόμου, ἤρξατο βοᾶν· Πόθεν μοι τοῦτο, ἵνα ἡ Μήτηρ τοῦ Κυρίου μου ἔλθῃ πρός με, ἵνα σώσῃ λαὸν ἀπεγνωσμένον, ὁ ἔχων τὸ μέγα ἔλεος, δόξα σοι.

Εἴσοδος, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Εἰς τὸν Στίχον. Δόξα. Κασσίας Μοναχῆς. Ἦχος πλ. δ'.

Ἡσαΐου νῦν τοῦ Προφήτου ἡ φωνὴ σήμερον, ἐν τῇ τοῦ μείζονος Προφητῶν κυήσει, Ἰωάννου πεπλήρωται· ἰδοὺ γάρ φησιν ἀποστελῶ τὸν Ἄγγελόν μου πρὸ προσώπου

σου, ὃς κατασκευάσει τὴν ὁδόν σου. Οὗτος οὖν ὁ τοῦ ἐπουρανίου Βασιλέως Στρατιώτης προδραμὼν, ὡς ἀληθῶς εὐθείας ἐποίει, τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν· ἄνθρωπος μὲν τῇ φύσει, Ἄγγελος δὲ τὸν βίον ὑπάρχων· ἁγνείαν γὰρ παντελῆ, καὶ σωφροσύνην ἀσπασάμενος, εἶχε μὲν τὸ κατὰ φύσιν, ἔφυγε δὲ τὸ παρὰ φύσιν, ὑπὲρ φυσιν ἀγωνισάμενος· αὐτὸν ἅπαντες πιστοὶ, ἐν ἀρεταῖς μιμούμενοι, πρεσβεύειν ὑπὲρ ἡμῶν δυσωπήσωμεν, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Βλέπε τὴν Ἐλισάβετ, πρὸς τὴν Παρθένον Μαριὰμ διαλεγομένην· Τί παραγέγονας πρός με, ἡ Μήτηρ τοῦ Κυρίου μου; σὺ Βασιλέα βαστάζεις, κἀγὼ Στρατιώτην· σὺ τὸν Νομοδότην, κἀγὼ τὸν νομοθέτην· σὺ τὸν Λόγον, κἀγὼ τὴν φωνὴν, τὴν κηρύξασαν τὴν Βασιλείαν τῶν Οὐρανῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Προφῆτα καὶ Πρόδρομε τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε, οὐκ εὐποροῦμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε· στείρωσις γὰρ τεκούσης, καὶ Πατρὸς ἀφωνία, λέλυνται τῇ ἐνδόξῳ, καὶ σεπτῇ σου Γεννήσει· καὶ σάρκωσις Υἱοῦ τοῦ Θεοῦ Κόσμῳ κηρύττεται.

Κοντάκιον. Ἡ Παρθένος σήμερον.

Ἦχος γ΄.

Ἡ πρὶν στεῖρα σήμερον, Χριστοῦ τὸν Πρόδρομον τίκτει, καὶ αὐτὸς τὸ πλήρωμα, πάσης τῆς Προφητείας· ὃν γὰρ οἱ Προφῆται προεκήρυξαν, τοῦτον ἐν Ἰορδάνῃ χειροθετήσας, ἀνεδείχθη Θεοῦ Λόγου, Προφήτης, Κῆρυξ ὁμοῦ καὶ Πρόδρομος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἀνατολίου. Ἦχος πλ. β΄.

Ἀστὴρ ἀστέρων Πρόδρομος, στειρωτικῆς ἐκ νηδύος, ἐπὶ γῆς τίκτεται σήμερον, Ἰωάννης ὁ Θεοπόθητος· καὶ Χριστοῦ ἐπιφαίνει τὴν αὐγὴν, ἀνατολὴν τὴν ἐξ ὕψους, εἰς εὐθεῖαν πιστοῖς διάβασιν.

ΕΙΣ ΤΗΝ ΚΘ΄. ΙΟΥΝΙΟΥ.

Τῶν Ἁγίων ἐνδόξων καὶ Πανευφήμων Ἀποστόλων, καὶ Πρωτοκορυφαίων Πέτρου, καὶ Παύλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β΄. Ἰωάννου Μοναχοῦ.

Τῷ τριττῷ τῆς ἐρωτήσεως, τῷ Πέτρε φιλεῖς με, τὸ τρίτον τῆς ἀρνήσεως, ὁ Χριστὸς διωρθώσατο· διὸ καὶ πρὸς τὸν κρυφιογνώστην ὁ Σίμων· Κύριε, πάντα γινώσκεις, τὰ πάντα ἐπίστασαι, σὺ οἶδας ὅτι φιλῶσε· ὅθεν πρὸς τὸν ὁ Σωτήρ· ποίμαινε τὰ πρόβατά μου, ποίμαινε τὴν ἐκλογάδα μου, ποίμαινε τὰ ἀρνία μου, ἃ ἐν τῷ ἰδίῳ Αἵματι περιεποιησάμην εἰς σωτηρίαν. Αὐτὸν ἱκέτευε, Θεομακάριστε Ἀπόστολε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα. Ἐφραὶμ Καρίας. Ἦχος πλ. β΄.

Ἑορτὴ χαρμόσυνος ἐπέλαμψε τοῖς πέρασι σήμερον, ἡ πάνσεπτος μνήμη τῶν σοφωτάτων Ἀποστόλων, καὶ Κορυφαίων Πέτρȣ καὶ Παύλου· διὸ καὶ Ῥώμη συγχαίρει χορεύουσα· ἐν ᾠδαῖς καὶ ὕμνοις, ἑορτάσωμεν καὶ ἡμεῖς ἀδελφοὶ τὴν πανσεβάσμιον ταύτην ἡμέραν ἐκτελέσαντες. Χαῖρε Πέτρε Ἀπόστολε, καὶ γνήσιε φίλε τοῦ σοῦ Διδασκάλου Χριστοῦ τȣ Θεοῦ ἡμῶν. Χαῖρε Παῦλε παμφίλτατε, καὶ Κῆρυξ τῆς Πίστεως, καὶ Διδάσκαλε τῆς Οἰκȣμένης· Ὡς ἔχον παῤῥησίαν ζεῦγος ἀγιόλεκτον, Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκετεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς Οἰκουμένης Διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἦχος β΄.

Τοὺς ἀσφαλεῖς, καὶ Θεοφθόγγους Κήρυκας, τὴν κορυφὴν τῶν Μαθητῶν σοῦ Κύριε, προσελάβου εἰς ἀπό-

λαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Ἡ πάνσεπτος τῶν Ἀποστόλων ἐπεδήμησεν Ἑορτὴ, τῇ Ἐκκλησίᾳ Χριστοῦ, προξενοῦσα σωτηρίαν ἡμῖν. Μυστικῶς οὖν κροτήσαντες, τούτοις προσείπωμεν· χαίρετε φωστῆρες τῶν ἐν σκότει, τοῦ Ἡλίου ἀκτῖνες ὑπάρχοντες· χαίρετε Πέτρε καὶ Παῦλε, δογμάτων τῶν θείων θεμέλιοι ἀῤῥαγεῖς, φίλοι τοῦ Χριστοῦ, σκεύη τίμια· πάριτε μέσον ἡμῶν ἀοράτως, καταξιοῦντες δωρεῶν ἀΰλων, τοὺς τὴν ὑμῶν Ἑορτὴν εὐφημοῦντας ᾄσμασι.

ΙΟΥΛΙΟΣ.

ΕΙΣ ΤΗΝ Α'. ΙΟΥΛΙΟΥ.

Τῶν Ἁγίων καὶ Θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, τῶν ἐν Ῥώμῃ μαρτυρησάντων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Ἀνατολίου.

Ἀτελεύτητος ὑπάρχει τῶν Ἁγίων ἡ χάρις, ἣν παρὰ Χριστοῦ ἐκομίσαντο· ὅθεν αὐτῶν καὶ τὰ Λείψανα, ἐκ θείας δυνάμεως, διηνεκῶς ἐνεργοῦσι τοῖς θαύμασιν, ὧν καὶ τὰ ὀνόματα, ἐκ πίστεως ἐπιβοώμενα, τῶν ἀνιάτων ἀλγηδόνων ἀπαλλάττουσι· δι' ὧν Κύριε καὶ ἡμᾶς, τῶν τῆς ψυχῆς καὶ τοῦ σώματος παθῶν ἐλευθέρωσον ὡς φιλάνθρωπος.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Πάντοτε ἔχοντες Χριστὸν, ἐνεργοῦντα ἐν ὑμῖν Ἅγιοι Ἀνάργυροι, θαυματουργεῖτε ἐν Κόσμῳ, ἀσθενοῦντας θεραπεύετε· καὶ γὰρ τὸ ἰατρεῖον ὑμῶν πηγὴ ὑπάρχει

ἀνεξάντλητος, ἀντλουμένη δὲ μᾶλλον, ὑπερεκβλύζει, καὶ χεομένη περισσεύεται· καθ' ἑκάστην κενουμένη, καὶ πληρουμένη, πᾶσι χορηγοῦσα, καὶ μὴ λειπομένη, καὶ οἱ ἀρυόμενοι κορέννυνται ἰάματα, καὶ αὕτη διαμένει ἀδαπάνητος. Τί οὖν ὑμᾶς καλέσωμεν; θεράποντας ἰατροὺς, ψυχῶν τε καὶ σωμάτων, ἰατῆρας παθῶν ἀνιάτων, δωρεὰν ἰωμένους ἅπαντας, εἰληφότας χαρίσματα, παρὰ τοῦ Σωτῆρος Χριστοῦ, τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ἅγιοι Ἀνάργυροι καὶ Θαυματουργοὶ, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν· δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.

Κοντάκιον. Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Οἱ τὴν χάριν λαβόντες τῶν ἰαμάτων, ἐφαπλοῦσθε τὴν ῥῶσιν τοῖς ἐν ἀνάγκαις, ἰατροὶ Θαυματουργοὶ ἔνδοξοι· ἀλλὰ τῇ ὑμῶν ἐπισκέψει, καὶ τῶν πολεμίων τὰ θράση καταβάλλετε, τὸν Κόσμον ἰώμενοι ἐν τοῖς θαύμασιν.

Εἰς τοὺς Αἴνους. Δόξα. Θεοφάνους. Ἦχος β'.

Πηγὴν ἰαμάτων ἔχοντες Ἅγιοι Ἀνάργυροι, τὰς ἰάσεις παρέχετε, πᾶσι τοῖς δεομένοις, ὡς μεγίστων δωρεῶν ἀξιωθέντες, παρὰ τῆς ἀενάου πηγῆς τοῦ Σωτῆρος Χριστοῦ· φησὶ γὰρ πρὸς ὑμᾶς ὁ Κύριος, ὡς ὁμοζήλους τῶν Ἀποστόλων· Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν κατὰ Πνευμάτων ἀκαθάρτων, ὥςτε αὐτὰ ἐκβάλλειν, καὶ θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. Διὸ τοῖς προστάγμασιν αὐτοῦ, καλῶς πολιτευσάμενοι, δωρεὰν ἐλάβετε, δωρεὰν παρέχετε, ἰατρεύοντες τὰ πάθη, τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.



ΕΙΣ ΤΗΝ Β΄. ΙΟΥΛΙΟΥ.

Ἡ Κατάθεσις τῆς Τιμίας Ἐσθῆτος τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἐν Βλαχέρναις.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος β΄.

Φρένα καθάραντες καὶ νοῦν, σὺν τοῖς Ἀγγέλοις καὶ ἡμεῖς πανηγυρίσωμεν, φαιδρῶς ἐξάρχοντες Δαβιτικὴν μελῳδίαν, τὴν Νεάνιδα Νύμφην τοῦ Βασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἀνάστηθι Κύριε λέγοντες, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ Κιβωτὸς τοῦ ἁγιάσματός σου· ὡς γὰρ παλάτιον τερπνὸν, ταύτην κατεκόσμησας, καὶ κατεκλήρωσας αὐτὴν τῇ πόλει σου Δέσποτα, περιποιεῖσθαι καὶ σκέπειν, ἐκ πολεμίων Βαρβάρων, τῇ κραταιᾷ δυνάμει σου, ταῖς ἱκεσίαις αὐτῆς.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος β΄.

Ὡς στέφανον ὑπέρλαμπρον, Πανάχραντε Θεοτόκε, τὴν Ζώνην σου τὴν ἁγίαν, ἡ Ἐκκλησία τοῦ Θεοῦ περιέθετο, καὶ φαιδρύνεται χαίρουσα σήμερον· καὶ μυστικῶς χορεύει Δέσποινα ἐκβοῶσά σοι· χαῖρε διάδημα τίμιον, καὶ στέφανε τῆς θείας δόξης αὐτοῦ· χαῖρε ἡ μόνη δόξα τοῦ πληρώματος, καὶ αἰώνιος εὐφροσύνη· χαῖρε τῶν εἰς σὲ προστρεχόντων, λιμὴν καὶ προστασία, καὶ σωτηρία ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος πλ. δ΄.

Θεοτόκε Ἀειπάρθενε τῶν ἀνθρώπων ἡ σκέπη, Ἐσθῆτα καὶ Ζώνην τοῦ ἀχράντου σου σώματος, κραταιὰν τῇ πόλει σου περιβολὴν ἐδωρήσω τῷ ἀσπόρῳ τόκῳ σου ἄφθαρτα διαμείναντα· ἐπὶ σοὶ γὰρ καὶ φύσις καινοτομεῖται καὶ χρόνος. Διὸ δυσωποῦμέν σε, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Περιβολὴν πᾶσι πιστοῖς ἀφθαρσίας, Θεοχαρίτωτε Ἁγνὴ ἐδωρήσω, τὴν ἱερὰν Ἐσθῆτά σου μεθ᾽ ἧς τὸ ἱερόν,

Σῶμά σου ἐσκέπασας, σκέπη πάντων ἀνθρώπων· ἧς περ τὴν κατάθεσιν, ἑορτάζομεν πόθῳ, καὶ ἐκβοῶντες κράζομεν πιστῶς· Χαῖρε, Παρθένε Χριστιανῶν τὸ καύχημα.

Εἰς τοὺς Αἴνους. Δόξα, Καὶ νῦν. Ἦχος β'.

Φρένα καθάραντες καὶ νοῦν, σὺν τοῖς Ἀγγέλοις καὶ ἡμεῖς πανηγυρίσωμεν. φαιδρῶς ἐξάρχοντες Δαβιτικὴν μελῳδίαν, τὴν Νεάνιδα Νύμφην τοῦ Βασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἀνάστηθι Κύριε λέγοντες, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ Κιβωτὸς τοῦ ἁγιάσματός σου· ὡς γὰρ παλάτιον τερπνὸν ταύτην κατεκόσμησας, καὶ κατεκλήρωσας αὐτὴν τῇ πόλει σου Δέσποτα, περιποιεῖσθαι καὶ σκέπειν, ἐκ πολεμίων Βαρβάρων, τῇ κραταιᾷ δυνάμει σου, ταῖς ἱκεσίαις αὐτῆς.

ΕΙΣ ΤΗΝ Ε'. ΙΟΥΛΙΟΥ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀθανασίου τȣ̃ ἐν τῷ Ἄθῳ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Ὡς ἔνθεος ἡ ζωή σου, καὶ πανίερόν σου τὸ τέλος Πάτερ Ἀθανάσιε· ἐν αὐτῷ γὰρ πᾶσα ἡ τοῦ Ὄρους πληθὺς συναχθεῖσα, ὡς ἔβλεψεν ἄπνουν ἐν κλίνῃ σε, ῥήμασι γοεροῖς ἀνεβόα· Δὸς τελευταῖον λόγον τοῖς δούλοις σου Ἅγιε· δίδαξον ποῦ καταλείπεις τὰ τέκνα σου Πάτερ, ἃ ᾤκτειρας ὡς Πατὴρ, ὄντως συμπαθὴς καὶ φιλόστοργος· ὅμως κἂν ὧδε τῷ τάφῳ καλύπτῃ, ἄνω σε πάντες, πλουτοῦμεν προστάτην, καὶ πρεσβευτὴν πρὸς Θεὸν οἱ πόθῳ τιμῶντές σε.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Τὴν τῶν Πατέρων καλλονὴν, τῶν Ἀσκητῶν τὸ κλέος, τὴν βρύσιν τῶν θαυμάτων, καὶ πρὸς Θεὸν πρεσβευτὴν ἀκαταίσχυντον, συνδραμόντες ὦ φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις ὑμνήσωμεν λέγοντες· Χαίροις ὁ τȣ̃ μονήρȣς βίȣ κανὼν καὶ χαρακτὴρ καὶ τύπος ἀκριβέςατος·

χαίροις φωστὴρ τηλαυγέστατε, ὁ δᾳδουχῶν τὴν σύμπασαν ἀρετῶν τοῖς πυρσεύμασι· χαίροις τῶν ἐν ὀδύναις ὁ μέγας παρακλήτωρ, καὶ θερμὸς προστάτης τῶν περιστατουμένων· Σὺ τοιγαροῦν Ἀθανάσιε, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ ὑπὲρ τῆς Ποίμνης σου ταύτης, καὶ πάντων πιστῶν, τῶν τιμώντων σου τὴν σεβάσμιον κοίμησιν.

Ἀπολυτίκιον. Ἦχος γ΄.

Τὴν ἐν σαρκὶ ζωήν σου, κατεπλάγησαν Ἀγγέλων τάγματα, πῶς μετὰ σώματος πρὸς ἀοράτους συμπλοκάς, ἐχώρησαν Πανεύφημε, καὶ κατετραυμάτισας, τῶν δαιμόνων τὰς φάλαγγας· ὅθεν Ἀθανάσιε, ὁ Χριστὸς σὲ ἠμείψατο, πλουσίαις δωρεαῖς. Διὸ Πάτερ, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Τῇ ὑπερμάχῳ. Ἦχος πλ. δ΄.

Ὡς τῶν ἀΰλων οὐσιῶν θεωρὸν ἄριστον, καὶ πρακτικὸν ὑφηγητὴν παναληθέστατον, ἀνακράζει σοι ἡ Ποίμνη σου θεόῤῥημον· μὴ ἐλλίπῃς ἱκετεύειν ὑπὲρ τῶν δούλων σου, λυτρωθῆναι πειρασμῶν καὶ περιστάσεων τοὺς βοῶντάς σοι· Χαίροις Πάτερ Ἀθανάσιε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β΄.

Τὸν τῆς Ἀθανασίας ἐπώνυμον ἅπαντες εὐφημήσωμεν, τὸν ἐν τῷ Ἄθῳ ἀνδρικῶς καὶ γενναίως ἀσκήσαντα· ὃς καὶ τὴν Ποίμνην συνήγαγε ταύτην, καὶ οἶκον Κυρίῳ ἀνήγειρε πόθῳ, καὶ τῇ Μητρὶ τοῦ Θεοῦ ἀνέθετο ἅπαντας· ἢ καὶ πρεσβεύει ὑπὲρ ἡμῶν τῶν ἐν πίστει τελούντων τὴν μνήμην αὐτοῦ.

ΕΙΣ ΤΗΝ Η΄. ΙΟΥΛΙΟΥ.

Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Προκοπίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄.

Ἐξέλαμψε σήμερον ἡ ἔνδοξος μνήμη σου Προκόπιε πολύαθλε, συγκαλοῦσα ἡμᾶς τοὺς φιλεόρτους, πρὸς εὐ-

ζημίαν καὶ δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ὅθεν καὶ προστρέχοντες ἐν τῇ σορῷ τῶν Λειψάνων σου, ἰαμάτων χαρίσματα λαμβάνομεν, καὶ τὸν σὲ ςεφανώσαντα Σωτῆρα Χριστὸν ἀνυμνοῦμεν εἰς αἰῶνας, ἀκαταπαύςως δοξάζοντες.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Ταῖς μυστικαῖς λαμπηδόσι, τῆς ὑπερφώτου Τριάδος καταυγαζόμενος, Μάρτυς Προκόπιε γενναιόφρον, θέσει Θεὸς χρηματίζεις, θεούμενος ἐν μεθέξει· ὅθεν τοὺς πίςει τελοῦντάς σου τὴν φωσφόρον Ἑορτὴν, ἐκ πειρασμῶν πολυτρόπων, περίσωζε σαῖς πρεσβείαις.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ὁ Μάρτυς σου Κύριε ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς Τυράννους καθεῖλεν, ἔθραυσε καὶ Δαιμόνων τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῷ ζήλῳ Χριςοῦ, τῷ θείῳ πυρπολούμενος, καὶ τῷ Σταυρῷ τῷ τιμίῳ φρουρούμενος, τῶν ἐχθρῶν τὸ φρύαγμα, καὶ τὰ θράση κατέβαλες Προκόπιε, καὶ τὴν σεπτὴν Ἐκκλησίαν ὕψωσας, τῇ πίστει προκόπτων καὶ φωτίζων ἡμᾶς.

Εἰς τοὺς Αἴνους.

Δόξα. Ἦχος πλ. δ'.

Ὥσπερ ὁ Παῦλος τὴν κλῆσιν, ἐκ τοῦ Θεοῦ δεξάμενος Μάρτυς Προκόπιε, καὶ προκόπτων ἐν Θεῷ, τῇ τοῦ Σταυροῦ πεποιθήσει, τῶν Τυράννων τὸ δυσσεβὲς, καὶ τῶν βασάνων ἀνδρικῶς κατήσχυνας· διὸ μέχρις αἵματος ἀντικατέστης πρὸς τὴν ἁμαρτίαν, πρὸς ἀοράτους ἐχθροὺς ἀνταγωνισάμενος· καὶ πρεσβεύεις ἀπαύστως τῷ Λυτρωτῇ καὶ Θεῷ, δωρηθῆναι τῇ Οἰκουμένῃ εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.



ΕΙΣ ΤΗΝ ΙΓ'. ΙΟΥΛΙΟΥ.

Ἡ Σύναξις τοῦ Ἀρχαγγέλου Γαβριήλ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Βυζαντίου.

Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Ἀγγέλων Ταξιαρχίαι· ὁ Πρωτοστάτης γὰρ ὑμνῶν, καὶ ἡμέτερος Προστάτης, ὁ μέγας Ἀρχιστράτηγος, τὴν σήμερον ἡμέραν, ἐν τῷ σεπτῷ αὐτοῦ Τεμένει, παραδόξως ἐποπτανόμενος ἁγιάζει· ὅθεν καταχρέως ἀνυμνοῦντες αὐτόν, βοήσωμεν· Σκέπασον ἡμᾶς, ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, μέγιστε Γαβριὴλ Ἀρχάγγελε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Παρθένων χοροστασίαι· ἡ προστασία γὰρ ἡμῶν, καὶ μεσίτρια καὶ σκέπη, καὶ μέγα καταφύγιον, τὴν σήμερον ἡμέραν, ἐν τῇ σεπτῇ αὐτῆς, καὶ θείᾳ προμηθείᾳ, τοὺς θλιβομένους παραμυθεῖται· ὅθεν καταχρέως ἀνυμνοῦντες αὐτὴν βοήσωμεν· σκέπασον ἡμᾶς, ἐν τῇ θείᾳ προςασίᾳ σȣ, Ἄχραντε Θεοτόκε Δέσποινα.

Εἰς τὸν Στίχον. Δόξα, Καὶ νῦν. Ἰωάννȣ Μοναχȣ̃.
Ἦχος πλ. δ'.

Ὡς ταξιάρχης καὶ πρόμαχος, καὶ τῶν Ἀγγέλων ἀρχηγὸς Ἀρχιστράτηγε, πάσης ἀνάγκης καὶ θλίψεως, νόσων καὶ δεινῶν ἁμαρτημάτων ἐλευθέρωσον, τοὺς εἰλικρινῶς ἀνυμνοῦντας, καὶ αἰτουμένους σε ἔνδοξε· ἐναργῶς ὡς ἄϋλος τὸν ἄϋλον καθορῶν, καὶ τῷ ἀπροσίτῳ φωτὶ τῆς τοῦ Δεσπότου δόξης καταλαμπόμενος· αὐτὸς γὰρ φιλανθρώπως σάρκα δι' ἡμᾶς ἐκ Παρθένου προσείληφε, σῶσαι βουληθεὶς τὸ ἀνθρώπινον.

Ἀπολυτίκιον. Ἦχος. δ'.

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγε, δυσωποῦμέν σε ἀεὶ ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς σαῖς δεήσεσι τειχ-

σης ἡμᾶς· σκέπη τῶν πτερύγων, τῆς αὔλου σου δόξης, φρουρῶν ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· Ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς.

Κοντάκιον. Ἦχος β'.

Ἀρχιστράτηγε Θεοῦ, λειτουργὲ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγὲ, καὶ ἀρχηγὲ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρέσβευε, καὶ τὸ μεγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. ά.

Ὅπου ἐπισκιάσει ἡ χάρις σου Ἀρχάγγελε, ἐκεῖθεν τοῦ Διαβόλου διώκεται ἡ δύναμις· οὐ φέρει τῷ φωτὶ σου προσμένειν, ὁ πεσὼν Ἑωσφόρος· διὸ αἰτοῦμέν σε, τὰ πυρφόρα αὐτοῦ βέλη, τὰ καθ' ἡμῶν κινούμενα, ἀπόσβεσον τῇ μεσιτείᾳ σου· λυτρούμενος ἡμᾶς, ἐκ τῶν σκανδάλων αὐτοῦ, ἀξιύμνητε Γαβριὴλ Ἀρχάγγελε.

ΤῊ ΚΥΡΙΑΚῊ ΑΠΟ ΙΓ'. ΕΩΣ ΙΘ'. ΙΟΥΛΙΟΥ.

Μνήμη τῆς Ἁγίας Οἰκουμενικῆς Δ'. Συνόδου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Τὰς μυστικὰς σήμερον τοῦ Πνεύματος σάλπιγγας, τοὺς Θεοφόρους Πατέρας ἀνευφημήσωμεν, τοὺς μελωδήσαντας ἐν μέσῳ τῆς Ἐκκλησίας, μέλος ἐναρμόνιον Θεολογίας, Τριάδα μίαν ἀπαράλλακτον, οὐσίαν τε καὶ Θεότητα· τοὺς καθαιρέτας Ἀρείου, καὶ Ὀρθοδόξων προμάχους, τὲς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος γ'.

Ἀποστολικῶν παραδόσεων, ἀκριβεῖς φύλακες γεγόνατε ἅγιοι Πατέρες· τῆς γὰρ ἁγίας Τριάδος τὸ ὁμοούσιον, Ὀρθοδόξως δογματίσαντες, Ἀρείου τὸ βλάσφημον Συνοδικῶς κατεβάλετε· μεθ' ὃν καὶ Μακεδόνιον Πνευματομάχον ἀπελέγξαντες· κατεκρίνατε Νεστόριον, Εὐτυχέα

καὶ Διόσκορον, Σαβέλλιόν τε καὶ Σεβῆρον τὸν ἀκέφαλον· ὧν τῆς πλάνης αἰτήσασθε ῥυσθέντας ἡμᾶς, ἀκηλίδωτον ἡμῶν τὸν βίον, ἐν τῇ πίστει φυλάττεσθαι δεόμεθα.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν Πίστιν πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε δόξα σοι.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τῶν Ἀποστόλων τὸ κήρυγμα, καὶ τῶν Πατέρων τὰ δόγματα, τῇ Ἐκκλησίᾳ μίαν τὴν Πίστιν ἐκράτυνεν· ἣ καὶ χιτῶνα φοροῦσα τῆς ἀληθείας, τὸν ὑφαντὸν ἐκ τῆς ἄνω Θεολογίας, ὀρθοτομεῖ, καὶ δοξάζει, τῆς εὐσεβείας τὸ μέγα Μυστήριον.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Τῶν ἁγίων Πατέρων ὁ χορὸς, ἐκ τῶν τῆς Οἰκουμένης περάτων συνδραμὼν, Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου, μίαν οὐσίαν ἐδογμάτισε καὶ φύσιν, καὶ τὸ Μυστήριον τῆς Θεολογίας, τρανῶς παρέδωκε τῇ Ἐκκλησίᾳ· οὓς εὐφημοῦντες ἐν πίστει μακαρίσωμεν, λέγοντες· Ὢ θεία παρεμβολὴ, θεηγόροι ὁπλῖται, παρατάξεως Κυρίου, ἀστέρες πολύφωτοι τοῦ νοητοῦ στερεώματος, τῆς μυστικῆς Σιὼν οἱ ἀκαθαίρετοι πύργοι, τὰ μυρίπνοα ἄνθη τοῦ Παραδείσου, τὰ πάγχρυσα στόματα τοῦ Λόγου, Ἐκκλησίας τὸ καύχημα, Οἰκουμένης ἀγλάϊσμα, ἐκτενῶς πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΗΝ ΙΖ'. ΙΟΥΛΙΟΥ.

Τῆς Ἁγίας Μεγαλομάρτυρος Μαρίνης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'.

Ἐν φωνῇ ἀγαλλιάσεως, καὶ ἐν ψαλμοῖς ἀλλαλαγμοῦ, ἀνυμνήσωμεν Μαρίναν τὴν Μάρτυρα· ὅτι καθεῖλεν

ἐπὶ γῆς τῶν εἰδώλων τὴν πλάνην, καὶ τὸν ἀντίπαλον ἐχθρὸν ἀνδρείως ἐν τοῖς ποσὶν αὐτῆς καθεῖλε· διὸ καὶ τελειωθεῖσα, εἰς Οὐρανοὺς ἀνίπταται, τὴν χεῖραν στεφηφοροῦσα καὶ ἀνακράζουσα· Σὲ νυμφίε μου ποθῶ, καὶ τὸ τοῦ πόθου φίλτρον ἔχουσα, ὑπὲρ σοῦ τὰς σάρκα μου τῷ πυρὶ παρέδωκα· κατασκηνώσω οὖν εἰς τὰς αἰωνίους σου μονὰς, ἔνθα ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος β'.

Ἐκ δεξιῶν τοῦ Σωτῆρος παρέστη ἡ Παρθένος, καὶ Ἀθληφόρος καὶ Μάρτυς, περιβεβλημένη ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως· καὶ βοῶσα πρὸς αὐτὸν, ἐν ἀγαλλιάσει τὴν λαμπάδα κατέχουσα· Εἰς ὀσμὴν μύρου σου ἔδραμον Χριστὲ ὁ Θεὸς, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ· μὴ χωρίσῃς με Νυμφίε ἐπουράνιε· Αὐτῆς ταῖς ἱκεσίαις κατάπεμψον ἡμῖν, παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ἡ Ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ. Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ Βαπτισμῷ σου· καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω ἐν σοὶ, καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω σὺν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἡ Παρθένος σήμερον. Ἦχος γ'.

Παρθενίας κάλλεσι, πεποικιλμένη Παρθένε, Μαρτυρίου στίγμασι στεφανωθεῖσα Μαρίνα, αἵμασιν ἀθλητικοῖς τε ῥεραντισμένη, θαύμασι καταλαμφθεῖσα τῶν ἰαμάτων, εὐσεβῶς Μάρτυς ἐδέξω, βραβεῖα νίκης τῆς σῆς ἀθλήσεως.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Ἀθλητικὴν ὁδεύσασα ὁδὸν, προγονικὴν ἐξέφυγες βουλὴν, Μαρίνα πανσεβάσμιε· καὶ ὡς μὲν Παρθένος φρονίμη, λαμπαδηφόρος εἰσῆλθες εἰς τὰς αὐλὰς τοῦ Κυρίου σου· ὡς δὲ Μάρτυς, ἀνδρείας χάριν ἔλαβες· ἀπε-

λαύνειν πᾶσαν νόσον ἐξ ἀνθρώπων· ἀλλὰ καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, ψυχικῶν ἀλγηδόνων ἐλευθέρωσον, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

ΕΙΣ ΤΗΝ Κ'. ΙΟΥΛΙΟΥ.

Τοῦ Ἁγίου ἐνδόξου Προφήτου Ἠλιοῦ τοῦ Θεσβίτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Βυζαντίου.

Δεῦτε τῶν Ὀρθοδόξων τὸ σύστημα, συναθροισθέντες σήμερον, ἐν τῷ πανσέπτῳ Ναῷ τῶν Θεηγόρων Προφητῶν, ψαλμικῶς ᾄσωμεν ἐναρμόνιον μέλος, τὸν τούτους δοξάσαντα Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ ἐν χαρᾷ καὶ ἀγαλλιάσει ἀναβοήσωμεν· Χαίροις ἐπίγειε Ἄγγελε, καὶ οὐράνιε ἄνθρωπε, Ἠλία μεγαλώνυμε· χαίροις ὁ διπλῆν τὴν χάριν παρὰ Θεοῦ κομισάμενος, Ἐλισσαῖε πανσεβάσμιε· χαίρετε ἀντιλήπτορες θερμοί, καὶ προστάται, καὶ ἰατροὶ τῶν ψυχῶν καὶ τῶν σωμάτων τοῦ φιλοχρίστου λαοῦ· ἀπὸ πάσης προσβολῆς ἐναντίας καὶ περιστάσεως, καὶ παντοίων κινδύνων λυτρώσασθε, τοὺς πιστῶς ἐκτελοῦντας τὴν πανέορτον μνήμην ὑμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Προφῆτα κῆρυξ Χριστοῦ τοῦ θρόνου τῆς μεγαλωσύνης, οὐδέποτε χωρίζῃ· καὶ ἑκάστῳ ἀσθενοῦντι ἀεὶ παρίστασαι· ἐν τοῖς ὑψίστοις λειτουργῶν, τὴν Οἰκουμένην εὐλογεῖς, πανταχοῦ δοξαζόμενος· αἴτησαι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ὁ Ἔνσαρκος Ἄγγελος, τῶν Προφητῶν ἡ κρηπίς, ὁ δεύτερος Πρόδρομος, τῆς παρουσίας Χριστοῦ, Ἠλίας ὁ ἔνδοξος, ἄνωθεν καταπέμψας, Ἐλισσαίῳ τὴν χάριν, νόσους ἀποδιώκει, καὶ λεπροὺς καθαρίζει· διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.

Κοντάκιον. Ἦχος β'. Αὐτόμελον.

Προφῆτα καὶ προόπτα τῶν μεγαλεργιῶν τοῦ Θεοῦ, Ἠλία μεγαλώνυμε, ὁ τῷ φθέγματί σου στήσας τὰ ὑδατόρρυτα νέφη, πρέσβευε ὑπὲρ ἡμῶν τὸν μόνον φιλάνθρωπον.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Τῶν Προφητῶν τοὺς ἀκραίμονας, καὶ παμφαεῖς Φωστῆρας τῆς Οἰκουμένης, ἐν ὕμνοις τιμήσωμεν πιστοί, Ἠλίαν καὶ Ἐλισσαῖον· καὶ Χριστῷ ἐκβοήσωμεν χαρμονικῶς· Εὔσπλαγχνε Κύριε, παράσχου τῷ λαῷ σου, ἱκεσίαις τῶν Προφητῶν σου, ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

ΕΙΣ ΤΗΝ ΚΒ'. ΙΟΥΛΙΟΥ.

Τῆς Ἁγίας Μυροφόρου Μαρίας τῆς Μαγδαληνῆς.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Ἀνατολίου.

Πρώτη κατιδοῦσα τὴν θείαν Ἀνάστασιν, Μαρία ἡ Μαγδαληνὴ τοῦ πρώτου τῶν ἀγαθῶν αἰτίου, τοῦ τὴν ἡμετέραν εὐσπλάγχνως φύσιν θεώσαντος, πρώτη καὶ Εὐαγγελίστρια ἐδείχθη, βοῶσα τοῖς Ἀποστόλοις· τὴν εὐθυμίαν ἀναλάβετε. Δεῦτε κατοπτεύσατε Χριστὸν ἐξαναστάντα, καὶ Κόσμῳ παρέχοντα τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα. Βύζαντος. Ἦχος πλ. β'.

Τῷ ἑκουσίως πτωχεύσαντι τὴν πτωχείαν τὴν ἐμήν, ὑπερβολῇ εὐσπλαγχνίας Χριστῷ τῷ Θεῷ, ἡ Μαγδαληνὴ Μαρία, ὡς μαθήτρια πιστῶς διακονήσασα, ἐπὶ ξύλου ταθέντα, καὶ τάφῳ συγκλεισθέντα, κατιδοῦσα ἐβόα δακρυρρόοῦσα· Τί τὸ ξένον θέαμα; ὁ νεκροὺς ζωοποιῶν, πῶς νεκρὸς λογίζεται; ποῖα μῦρα κομίσω, τῷ ἀπαλλάξαντί με δυσωδίας τῶν δαιμόνων; ποῖα δάκρυα χέω, τῷ δακρύων τὴν ἐμὴν μεταμφιάσαντι Προμήτορα; Ἀλλ' ὁ τοῦ σύμπαντος Ἄναξ, ὡς Παραδείσου φύλαξ φανείς, δροσισμῷ τῶν αὐτοῦ ῥημάτων, τὸν καύσωνα ἀφανίζει, λέξας πρὸς αὐτήν· Εὐαγγελίζου χαρᾶς ἀ[illegible] ἀ[illegible]

πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν καὶ Θεόν μου, καὶ Θεὸν ἡμῶν, ὅπως παρέξω τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

'Απολυτίκιον. Ἦχος ά.

Χριστῷ τῷ δι' ἡμᾶς, ἐκ Παρθένου τεχθέντι, σεμνὴ Μαγδαληνὴ, ἠκολούθεις Μαρία, αὐτοῦ τὰ δικαιώματα, καὶ τοὺς νόμους φυλάττουσα· ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες, ἀνευφημοῦμέν σε πίστει, καὶ πόθῳ γεραίρομεν.

Κοντάκιον. Ὁ ὑψωθεὶς. Ἦχος δ'.

Ὁ Ὑπερούσιος Θεὸς ἐν τῷ Κόσμῳ, μετὰ σαρκὸς ἐπιφοιτῶν Μυροφόρε, σὲ ἀληθῆ μαθήτριαν προσήκατο, ὅλην σου τὴν ἔφεσιν, πρὸς αὐτὸν κεκτημένην· ὅθεν καὶ ἰάματα, ἐπετέλεσας πλεῖστα· καὶ μεταστᾶσα νῦν ἐν Οὐρανοῖς, ὑπὲρ τοῦ Κόσμου πρεσβεύεις ἑκάστοτε.

ΕΙΣ ΤΗΝ ΚΕ'. ΙΟΥΛΙΟΥ.

Ἡ Κοίμησις τῆς Ἁγίας Ἄννης, τῆς Μητρὸς τῆς Ὑπεραγίας Θεοτόκου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'. Ἀνατολίου.

Οἱ ἐξ ἀκάρπων λαγόνων ῥάβδον ἁγίαν τὴν Θεοτόκον βλαστήσαντες, ἐξ ἧς ἡ σωτηρία τῷ Κόσμῳ ἀνέτειλε Χριστὸς ὁ Θεός· τὸ ζεῦγος τὸ ἄμωμον, ἡ ξυνωρὶς ἡ ἁγία, Ἰωακεὶμ καὶ Ἄννα· οὗτοι μεταστάντες πρὸς οὐρανίους σκηνὰς, σὺν τῇ αὐτῶν Θυγατρὶ, ὑπεραχράντῳ Παρθένῳ, μετ' Ἀγγέλων χορεύουσιν ὑπὲρ τοῦ Κόσμου πρεσβείαν ποιούμενοι· οὓς καὶ ἡμεῖς συνελθόντες εὐσεβῶς ὑμνοῦντες λέγομεν· Οἱ διὰ τῆς Θεόπαιδος καὶ Παναγνου Μαρίας, προπάτορες Χριστοῦ χρηματίσαντερ, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Δεῦτε πᾶσα ἡ κτίσις ἐν κυμβάλοις ψαλμικοῖς, εὐφημήσωμεν Ἄνναν τὴν Θεόφρονα, τὴν τὸ θεῖον ὄρος

ἀποκυήσασαν ἐκ λαγόνων αὐτῆς, καὶ πρὸς ὄρη νοητά, καὶ Παραδείσου σκηνώματα, σήμερον μεταβεβηκυῖαν, καὶ πρὸς αὐτὴν βοήσωμεν· Μακαρία ἡ κοιλία σου ἡ βαστάσασα ἀληθῶς, τὴν τὸ φῶς τοῦ Κόσμου ἔνδον ἐν κοιλίᾳ βαστάσασαν· καὶ οἱ μαστοί σου ὡραῖοι, οἱ θηλάσαντες τὴν θηλάσασαν Χριστὸν τὴν τροφὸν τῆς ζωῆς ἡμῶν· ὃν καθικέτευε τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως καὶ προσβολῆς τοῦ ἐχθροῦ, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ζωὴν τὴν κυήσασαν, ἐκυοφόρησας, ἁγνὴν Θεομήτορα, θεόφρον Ἄννα· διὸ πρὸς λῆξιν οὐράνιον, ἔνθα εὐφραινομένων, κατοικία ἐν δόξῃ, χαίρουσα νῦν μετέστης, τοῖς τιμῶσί σε πόθῳ, πταισμάτων αἰτουμένη ἱλασμὸν ἀειμακάριστε.

Κοντάκιον. Τὰ ἄνω ζητῶν. Ἦχος β'.

Προγόνων Χριστοῦ, τὴν μνήμην ἑορτάζομεν, τὴν τούτων πιστῶς, αἰτούμενοι βοήθειαν, τοῦ ῥυσθῆναι ἅπαντας, ἀπὸ πάσης θλίψεως τοὺς κραυγάζοντας· Ὁ Θεὸς γενοῦ μεθ' ἡμῶν, ὁ τούτους δοξάσας ὡς ηὐδόκησας.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος β'.

Δεῦτε φιλοπάρθενοι πάντες, καὶ τῆς ἁγνείας ἐρασταί, δεῦτε ἑορτάσωμεν Ἄννης τὴν σεβασμίαν Κοίμησιν· καὶ γὰρ ἔτεκεν ὑπερφυῶς τὴν πηγὴν τῆς ζωῆς, Μαρίαν τὴν θεόπαιδα· ἐξ ἧς ἐτέχθη ὁ Λυτρωτής, ὁ φωτίζων καὶ ἁγιάζων τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ ΚϚ'. ΙΟΥΛΙΟΥ.

Τῆς Ἁγίας Ὁσιομάρτυρος Παρασκευῆς καὶ τοῦ Ἁγίου Ἱερομάρτυρος Ἑρμολάου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Παρθενομάρτυς ἀθληφόρε Παρασκευὴ πανένδοξε, τοὺς τὴν ἄθλησιν τὴν σὴν ἀξίως ἐκτελοῦντας, αἴτησαι

ρυσθῆναι πειρασμῶν καὶ θλίψεων, ταῖς πρὸς Θεὸν πρεσβείαις σȣ, καὶ τῆς μελλȣσης κρίσεως, Μάρτυς πανοίδιμε.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Δεῦτε πάντα τῆς γῆς τὰ πέρατα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν, καὶ τὴν Χριστοῦ Παρθενομάρτυρα εὐφημήσωμεν λέγοντες· Χαίροις Παρασκευὴ Ὁσία καὶ θεοτίμητε· χαίροις ἡ τὸ Μαρτύριον καλῶς ὑποδεξαμένη· χαίροις τῶν Μαρτύρων ἰσοστάσιε, καὶ τῶν Ὁσίων ὁμόσκηνε· μεθ' ὧν ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο, τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχοντες τὴν ἰσχύν σου, τοὺς Τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἕτερον, τῆς Ἁγίας. Ἦχος α'.

Τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον, ἐργασαμένη φερώνυμε, τὴν ὁμώνυμόν σου πίστιν, εἰς κατοικίαν κεκλήρωσαι, Παρασκευὴ Ἀθληφόρε· ὅθεν προχέεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τὸν Ναόν σου πάνσεμνε ὡς ἰατρεῖον, ψυχικὸν εὑράμενοι, ἐν τούτῳ πάντες οἱ πιστοὶ, μεγαλοφώνως τιμῶμέν σε, Ὁσιομάρτυς Παρασκευὴ ἀοίδιμε.

Εἰς τοὺς Αἴνους Δόξα. Ἦχος β'.

Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν Ὄρει ἁγίῳ αὐτοῦ, ἐκεῖ κατεσκήνωσεν ἡ ἁγία, λαμπάδα τὴν ἄσβεστον τηρήσασα· ἀκούσωμεν τῆς Παρθένου ἐγκώμιον. Ὦ Παρθενία Ναὸς Θεοῦ· ὦ Παρθενία Μαρτύρων δόξα· ὦ Παρθενία Ἀγγέλων συμμέτοχε.



ΕΙΣ ΤΗΝ ΚΖ΄. ΙΟΥΛΙΟΥ.

Τοῦ Ἁγίου ἐνδόξȣ Μεγαλομάρτυρος Παντελεήμονος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄. Βυζαντίου

Ἐξέλαμψε σήμερον, ἡ σεβάσμιος μνήμη τοῦ Ἀναργύρου, τοὺς πιστοὺς συγκαλοῦσα πρὸς εὐωχίαν μυστικήν, καὶ πρὸς πανήγυριν ἑόρτιον ἄγουσα, τῶν φιλεόρτων τὰ συστήματα· ἐπέστη γὰρ ἡμῖν Θαυματουργὸς Ἰατρός, τὰς νόσους πάντων ἰώμενος, Παντελεήμων ὁ στεῤῥὸς ἀθλητής· καὶ πρεσβεύει ἐκτενῶς τῷ Κυρίῳ, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον Δόξα. Βυζαντίου. Ἦχος πλ. δ΄.

Μητρικὴν ἀγαπήσας εὐσέβειαν, Πατρικὴν ἀθεΐαν βδελυξάμενος, τῷ Ἰατρῷ τῶν ψυχῶν ϛρατευσάμενος, ἰατρικῶς σεαυτὸν ἐξεπαίδευσας· καὶ θείᾳ χάριτι ἐν ἀμφοτέροις εὐδοκιμῶν, τῶν παθῶν ὀλοθρευτής, καὶ τῶν ψυχῶν θεραπευτὴς ἀναδέδειξαι· ἀλλ᾽ ὡς ἐν ἄθλοις τὸ εὔτονον, καὶ ἐν πρεσβείαις τὸ ἔμμονον κεκτημένος, Παντελεῆμον Μάρτυς τȣ̃ Χριϛοῦ, ἐκτενῶς ἱκέτευε τȣ̃ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος γ΄.

Ἀθλοφόρε Ἅγιε, καὶ ἰαματικὲ Παντελεῆμον, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον. Ἦχος πλ. α΄.

Μιμητὴς ὑπάρχων τοῦ Ἐλεήμονος, καὶ ἰαμάτων τὴν χάριν παρ᾽ αὐτȣ̃ κομισάμενος, Ἀθλοφόρε καὶ Μάρτυς Χριστοῦ τοῦ Θεȣ̃, ταις εὐχαῖς σȣ τὰς ψυχικὰς ἡμῶν νόσους θεράπευσον, ἀπελαύνων τοῦ ἀεὶ πολεμίου τὰ σκάνδαλα, ἐκ τῶν βοώντων ἀπαύστως· σῶσον ἡμᾶς Κύριε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ἐξέλαμψε τοῦ Ἀθλοφόρου ἡ μνήμη, δεῦτε πιϛοὶ πνευματικῶς εὐφρανθῶμεν, καὶ τοῖς ᾄσμασι τȣ̃-

τον καταστέψωμεν· τὸν γὰρ ἀόρατον ἐχθρὸν τῇ δυνάμει τοῦ Σταυροῦ ἀνδρικῶς ἐτροπώσατο, καὶ τῶν Τυράννων τὰς ἀπείρους βασάνους μὴ δειλιάσας, νομίμως τὸ βραβεῖον ἐδέξατο τῆς ἄνω κλήσεως· καὶ νῦν μετ' Ἀγγέλων εἰς αἰῶνας συναγάλλεται· ἀλλ' ὦ Μάρτυς τοῦ Χριστοῦ Παντελεῆμον, ἰατρὲ τῶν νοσούντων, καὶ λιμὴν τῶν χειμαζομένων, μὴ διαλίπῃς πρεσβεύων τῷ ἐλεήμονι Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΑΥΓΟΥΣΤΟΣ.

ΕΙΣ ΤΗΝ Α'. ΑΥΓΟΥΣΤΟΥ.

Ἡ Πρόοδος τῶν Τιμίων Ξύλων τοῦ Σταυροῦ, καὶ τῶν Ἁγίων Μακκαβαίων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ'. Ἰωάννου Μοναχοῦ.

Οἱ Ἅγιοι Μακκαβαῖοι τῷ Τυράννῳ ἔλεγον· Ἡμῖν ὦ Ἀντίοχε, εἷς Βασιλεὺς ὁ Θεὸς, παρ' οὗ γεγόναμεν, καὶ πρὸς ὃν ἐπιστρέφομεν. Κόσμος μένει ἄλλος ἡμῖν, τοῦ ὁρωμένου ὑψηλότερος καὶ μονιμώτερος. Πατρὶς δὲ ἡμῶν ἡ ἄνω Ἱερουσαλὴμ, ἡ κραταιὰ καὶ ἀνώλεθρος· πανήγυρις δὲ, ἡ μετὰ Ἀγγέλων διαγωγή. Κύριε, πρεσβείαις αὐτῶν ἐλέησον καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν. Ὁ αὐτός.


Ὃν ὑπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τὸν Ἀμαλὴκ καταβαλὼν ἐτροπώσατο· καὶ Δαυῒδ ὁ μελῳδὸς, ὑποπόδιόν σοι βοῶν, προσκυνεῖσθαι διετάξατο· τίμιον Σταυρόν σου Χριστὲ ὁ Θεὸς, σήμερον ἁμαρτωλοὶ προσκυνοῦμεν, χείλεσιν ἀναξίοις, σὲ τὸν καταξιώσαντα παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες βοῶμέν σοι· Κύριε σὺν τῷ Λῃστῇ, τῆς Βασιλείας σου ἀξίωσον ἡμᾶς.

Εἰς τὸν Στίχον. Δόξα.
Ἦχος πλ. δ'.

Ψυχαὶ Δικαίων ἐν χειρὶ Κυρίου, καθάπερ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, οἱ πρὸ Νόμου Προπάτορες, καὶ Μακκαβαίων πρόγονοι, τῶν νῦν εὐφημουμένων παρ' ἡμῶν· οὗτοι γὰρ οἱ καρτερόψυχοι, Ἀβραμιαῖοι ὑπάρχοντες, τὴν Πίστιν ἐξήλωσαν τοῦ ἑαυτῶν προπάτορος Ἀβραὰμ, καὶ μέχρι θανάτου ἠγωνίσαντο δι' εὐσέβειαν· εὐσεβῶς γὰρ συντραφέντες, καὶ ἐννόμως συναθλήσαντες, τὴν ἀσέβειαν διήλεγξαν, τοῦ ἐπαράτου Ἀντιόχου· καὶ μηδὲν προτιμήσαντες τῶν τῆς παρούσης ζωῆς διὰ τὴν αἰώνιον, πάντα Θεῷ ἀνέθεντο, ψυχὴν, ἀνδρείαν, αἴσθησιν, σῶμα ἁπαλὸν, καὶ ἀμοιβὰς τῶν ἁγνείᾳ τεθραμμένων. Ὢ ῥίζης εὐσεβοῦς, ἐξ ἧς ὑμεῖς ἐβλαστήσατε Μακκαβαῖοι! ὢ Μητρὸς ἁγίας, τῆς τεξαμένης τὸν ἰσάριθμον τῆς Ἑβδομάδος ἀριθμόν! ἀλλ' ἱκετεύομεν ὑμᾶς Μακκαβαῖοι, σὺν τῇ Μητρὶ ὑμῶν Σολομονῇ, καὶ τῷ σοφῷ Ἱερεῖ Ἐλεαζάρῳ, ὅταν παραστῆτε Χριστῷ τῷ Θεῷ, δι' ὃν κεκοπιάκατε, τοὺς πόνους τῶν καρπῶν ὑμῶν ἀπολαβεῖν παρ' αὐτοῦ, ἐκτενῆ ἱκεσίαν ποιήσατε ὑπὲρ τῆς ἀνθρωπότητος· ποιεῖς γὰρ ὅσα βούλεται, καὶ πληροῖ τὰ θελήματα ὑμῶν, τῶν φοβουμένων αὐτόν.

Καὶ νῦν. Ὁ αὐτός.

Ἡ φωνὴ τοῦ Προφήτου σου Μωϋσέως ὁ Θεὸς, πεπλήρωται ἡ λέγουσα· Ὄψεσθε τὴν ζωὴν ἡμῶν κρεμαμένην, ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν. Σήμερον Σταυρὸς ὑψοῦται, καὶ Κόσμος ἐκ πλάνης ἐλευθεροῦται. Σήμερον τοῦ Χριστοῦ ἡ Ἀνάστασις ἐγκαινίζεται, καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλονται, ἐν Κυμβάλοις Δαβιτικοῖς ὕμνον σοι προσφέροντα, καὶ λέγοντα· Εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ Θεὸς, Σταυρὸν καὶ τὴν Ἀνάστασιν· δι' ὧν ἡμᾶς ἔσωσας ἀγαθὲ καὶ φιλάνθρωπε. Παντοδύναμε Κύριε δόξα σοι.



'Απολυτίκιον. Ἦχος ά.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε· καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα.

Κοντάκιον. Τοῦ τιμίου Σταυροῦ. Ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ Θεός. Εὔφραινον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης ἀήττητον τρόπαιον.

Κοντάκιον. τῶν Ἁγίων. Τὰ ἄνω ζητῶν. Ἦχος β'.

Σοφίας Θεοῦ, οἱ στύλοι οἱ ἑπτάριθμοι, καὶ θείου φωτός, οἱ λύχνοι οἱ ἑπτάφωτοι, Μακκαβαῖοι πάνσοφοι, πρὸ Μαρτύρων μέγιστοι Μάρτυρες, σὺν αὐτοῖς τὸν πάντων Θεὸν αἰτεῖσθε, σωθῆναι τοὺς ὑμνοῦντας ἡμᾶς.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος δ'.

Τὸν κατὰ τῶν Μακκαβαίων συγκροτηθέντα πόλεμον, δεῦτε θεασώμεθα πιστοὶ τὴν ἀνδρείαν· Τύραννος γὰρ Βασιλεὺς πάντων τῶν Ἐθνῶν κρατήσας, ἀντεκρατεῖτο ὑπὸ Γέροντος, καὶ Παίδων ἑπτά, καὶ μιᾶς Γυναικός· διὸ εὐχαῖς αὐτῶν ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Ὁ συμμαχήσας Κύριε, τῷ πρᾳοτάτῳ Δαυΐδ, ὑποτάξαι τὸν ἀλλόφυλον, τῷ πιστῷ ἡμῶν Βασιλεῖ συμπολέμησον, καὶ τῷ ὅπλῳ τοῦ Σταυροῦ κατάβαλε τοὺς ἐχθροὺς ἡμῶν· δεῖξον εὔσπλαγχνε εἰς ἡμᾶς τὰ ἀρχαῖα ἐλέη σου, καὶ γνώτωσαν ἀληθῶς, ὅτι σὺ εἶ Θεός, καὶ ἐν σοὶ πεποιθότες νικῶμεν, πρεσβευούσης συνήθως τῆς ἀχράντου σου Μητρός, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὴν Προσκύνησιν τοῦ τιμίου Σταυροῦ, ψάλλομεν

'Ιδιόμελον. Ἦχος β'.

Δεῦτε πιστοὶ τὸ ζωοποιὸν Ξύλον προσκυνήσωμεν· ἐν ᾧ Χριστὸς ὁ Βασιλεὺς τῆς δόξης, ἑκουσίως χεῖρας

ἐκτείνας, ὕψωσεν ἡμᾶς εἰς τὴν ἀρχαίαν μακαριότητα· οὓς πρὶν ὁ ἐχθρὸς δι' ἡδονῆς συλήσας, ἐξορίστους Θεοῦ πεποίηκε. Δεῦτε πιστοὶ Ξύλον προσκυνήσωμεν, δι' οὗ ἠξιώθημεν τῶν ἀοράτων ἐχθρῶν. συντρίβειν τὰς κάρας. Δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν Ἐθνῶν, τὸν Σταυρὸν τοῦ Κυρίου, ὕμνοις τιμήσωμεν· χαίροις Σταυρὲ τοῦ πεσόντος Ἀδὰμ ἡ τελεία λύτρωσις· ἐν σοὶ οἱ πιστότατοι Βασιλεῖς ἡμῶν καυχῶνται, ὡς τῇ σῇ δυνάμει Ἰσμαηλίτην Λαὸν κραταιῶς ὑποτάττοντες· σὲ νῦν μετὰ φόβου Χριστιανοὶ ἀσπαζόμεθα, τὸν ἐν σοὶ προσπαγέντα Θεὸν, δοξάζομεν λέγοντες· Κύριε ὁ ἐν αὐτῷ προσπαγεὶς, ἐλέησον ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

ΕΙΣ ΤΗΝ Δ΄. ΑΥΓΟΥΣΤΟΥ.

Τῶν Ἁγίων Ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ΄.

Δεῦτε πᾶσα Κτίσις ἐν Κυμβάλοις ψαλμικοῖς, καὶ ἐν φωναῖς ἀλαλαγμοῦ, αἶνον Θεῷ ἀναπέμψωμεν, τῷ πρὸ τῆς κοινῆς Ἀναστάσεως τὴν ἀνάστασιν ἡμῖν ἐμφανίσαντι· καὶ τοὺς πρὸ τριακοσίων δύο καὶ ἑβδομήκοντα τετελευτηκότας χρόνων, ἁγίους Παῖδας ἑπτὰ, δι' ἱκεσίας εὐσεβοῦς Βασιλέως ἀναστήσαντι ἐκ χοὸς, εἰς πτῶσιν ἀπίστοις ἐχθροῖς καὶ αἰσχύνην αἰώνιον· δόξαν δὲ καὶ ἔπαινον τοῖς φοβουμένοις αὐτόν· οἶδε γὰρ Κύριος δοξάζειν τοὺς αὐτὸν ἀντιδοξάζοντας· θέλημα γὰρ ποιεῖ τῶν φοβουμένων αὐτὸν ἐν ἀληθείᾳ· ὁ μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο, τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχοντες τὴν ἰσχύν σου, τοὺς Τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση·

Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ὁ ὑψωθείς. Ἦχος δ'.

Οἱ τὰ τοῦ Κόσμου ὡς φθαρτὰ παριδόντες, καὶ τὰς ἀφθάρτους δωρεὰς εἰληφότες, καταφθορᾶς διέμειναν τεθνήξαντες ἐκτός· ὅθεν ἐξανίστανται μετὰ πλείονας χρόνους, ἅπασαν ἐνθάψαντες δυσμενῶν ἀπιστίαν· οὓς ἐν αἰνέσει σήμερον πιστοὶ, ἀνευφημοῦντες Χριστὸν ἀνυμνήσωμεν.

ΕΙΣ ΤΗΝ Ϛ'. ΑΥΓΟΥΣΤΟΥ.

Ἡ Μεταμόρφωσις τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Ἀνατολίου.

Προτυπῶν τὴν Ἀνάστασιν τὴν σὴν Χριστὲ ὁ Θεὸς, τότε παραλαμβάνεις τοὺς τρεῖς σου Μαθητὰς, Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, ἐν τῷ Θαβὼρ ἀνελθών· σοῦ δὲ Σωτὴρ μεταμορφουμένου, τὸ Θαβώριον ὄρος φωτὶ ἐσκέπετο· οἱ Μαθηταί σου Λόγε, ἔῤῥιψαν ἑαυτοὺς ἐν τῷ ἐδάφει τῆς γῆς, μὴ φέροντες ὁρᾶν τὴν ἀθέατον μορφήν. Ἄγγελοι διηκόνουν φόβῳ καὶ τρόμῳ. Οὐρανοὶ ἔφριξαν, γῆ ἐτρόμαξεν, ὁρῶντες ἐπὶ γῆς τῆς δόξης τὸν Κύριον.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Πέτρῳ καὶ Ἰωάννῃ καὶ Ἰακώβῳ, τοῖς προκρίτοις Μαθηταῖς σου Κύριε, σήμερον ὑπέδειξας ἐν τῷ ὄρει τῷ Θαβὼρ, τὴν δόξαν τῆς Θεϊκῆς σου Μορφῆς· ἔβλεπον γὰρ τὰ ἱμάτιά σου ἀστράψαντα ὡς τὸ φῶς, καὶ τὸ πρόσωπόν σου ὑπὲρ τὸν Ἥλιον, καὶ μὴ φέροντες ὁρᾶν τὸ ἄστεκτον τῆς σῆς ἐλλάμψεως, εἰς γῆν κατέπιπτον, μηδ' ὅλως ἀτενίσαι ἰσχύοντες· φωνῆς γὰρ ἤκουον μαρτυρούσης ἄνωθεν· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ὁ ἐλθὼν εἰς τὸν Κόσμον σῶσαι τὸν ἄνθρωπον.

Ἀπολυτίκιον. Ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο· λαμψάτω καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, Φωτοδότα δόξα σοι.

Κοντάκιον. Αὐτόμελον. Ἦχος βαρύς.

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο· ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν Πάθος νοήσωσιν ἑκούσιον· τῷ δὲ Κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος πλ. δ΄.

Παρέλαβεν ὁ Χριστὸς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ Ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς· καὶ ὤφθησαν Μωϋσῆς καὶ Ἠλίας, μετ' αὐτοῦ συλλαλοῦντες, καὶ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς· καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε.

ΕΙΣ ΤΗΝ Θ΄. ΑΥΓΟΥΣΤΟΥ.

Τοῦ Ἁγίου Ἀποστόλου Ματθία.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος πλ. β΄.

Ὁ φωτί σου ἅπασαν τὴν Οἰκουμένην ἁγιάσας, εἰς ὄρος ὑψηλὸν μετεμορφώθης Ἀγαθέ, δείξας τοῖς Μαθηταῖς σου τὴν δυναστείαν σου, ὅτι Κόσμον λυτροῦσαι ἐκ παραβάσεως. Διὸ βοῶμέν σοι· Εὔσπλαγχνε Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος β΄.

Ὁ ἐν τῷ ὄρει τῷ Θαβώρ, μεταμορφωθεὶς ἐν δόξῃ Χριστὲ ὁ Θεός, καὶ ὑποδείξας τοῖς Μαθηταῖς σου τὴν

δόξαν τῆς σῆς Θεότητος, καταύγασον καὶ ἡμᾶς τῷ φωτὶ τῆς σῆς ἐπιγνώσεως, καὶ ὁδήγησον ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἀπολυτίκιον. Ἦχος γ'.

Ἀπόστολε Ἅγιε Ματθία, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον. Ἐπεφάνης σήμερον. Ἦχος δ'.

Φωταυγὴς ὡς Ἥλιος εἰς πάντα Κόσμον, ἐξελθὼν ὁ φθόγγος σου, καταφωτίζει τῶν Ἐθνῶν, τὴν Ἐκκλησίαν ἐν χάριτι, Θαυματοφόρε Ματθία Ἀπόστολε.

ΕΙΣ ΤΗΝ ΙΕ'. ΑΥΓΟΥΣΤΟΥ.

Ἡ Κοίμησις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκȣ, καὶ Ἀειπαρθένου Μαρίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Θεαρχίῳ νεύματι, πάντοθεν οἱ Θεοφόροι Ἀπόστολοι ὑπὸ νεφῶν μεταρσίως αἰρόμενοι. Ἦχος πλ. ά. Καταλαβόντες τὸ παναχραντον, καὶ ζωαρχικόν σου σκῆνος, ἐξόχως ἠσπάζοντο. Ἦχος β'. Αἱ δὲ ὑπέρτατοι τῶν Οὐρανῶν Δυνάμεις, σὺν τῷ οἰκείῳ Δεσπότῃ παραγενόμεναι· Ἦχος πλ. β'. Τὸ Θεοδόχον καὶ ἀκραιφνέστατον σῶμα προπέμπουσαι, τῷ δέει κρατȣ́μεναι· ὑπερκοσμίως δὲ προῴχοντο, καὶ ἀοράτως ἐβόων ταῖς ἀνωτέραις Ταξιαρχίαις. Ἰδοὺ ἡ Παντάνασσα Θεόπαις παραγέγονεν. Ἦχος γ'. Ἄρατε πύλας, καὶ ταύτην ὑπερκοσμίως ὑποδέξασθε, τὴν τοῦ ἀενάου φωτὸς Μητέρα. Ἦχος βαρύς. Διὰ ταύτης γὰρ ἡ παγγενὴς τῶν βροτῶν σωτηρία γέγονεν, ἣ ἀτενίζειν οὐκ ἰσχύομεν, καὶ ταύτῃ ἄξιον γέρας ἀπονέμειν ἀδύνατον. Ἦχος δ'. Ταύτης γὰρ τὸ ὑπερβάλλον, ὑπερέχει πᾶσαν ἔννοιαν. Ἦχος πλ. δ'. Διὸ ἄχραντε Θεοτόκε, ἀεὶ σὺν ζωηφόρῳ Βασιλεῖ, καὶ τόκῳ ζῶσα, πρέσβευε διηνεκῶς, περιφρουρῆσαι καὶ σῶσαι, ἀπὸ πάσης προσβολῆς

ἐναντίας τὴν νεολαίαν σου· τὴν γὰρ σὴν προστασίαν κεκτήμεθα. Ἦχος ά. Εἰς τοὺς αἰῶνας ἀγλαοφανῶς μακαρίζοντες.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος δ'.

Ὅτε ἐξεδήμησας Θεοτόκε Παρθένε, πρὸς τὸν ἐκ σοῦ τεχθέντα ἀφράστως, παρῆν Ἰάκωβος ὁ ἀδελφόθεος, καὶ πρῶτος Ἱεράρχης. Πέτρος δὲ ἡ τιμιωτάτη κορυφαία τῶν Θεολόγων ἀκρότης, καὶ σύμπας ὁ θεῖος τῶν Ἀποστόλων χορὸς, ἐκφαντορικαῖς Θεολογίαις ὑμνολογοῦντες, τὸ θεῖον καὶ ἐξαίσιον, τῆς Χριστοῦ τοῦ Θεοῦ, Οἰκονομίας Μυστήριον, καὶ τὸ ζωαρχικὸν καὶ θεοδόχον σου σῶμα κηδεύσαντες, ἔχαιρον Πανύμνητε· ὕπερθεν δὲ αἱ πανάγιαι, καὶ πρεσβύτατοι τῶν Ἀγγέλων δυνάμεις, τὸ θαῦμα ἐκπληττόμεναι, κεκυφυῖαι ἀλλήλαις ἔλεγον· Ἄρατε ὑμῶν τὰς πύλας, καὶ ὑποδέξασθε τὴν τεκοῦσαν τὸν Οὐρανοῦ καὶ γῆς Ποιητήν· δοξολογίαις τε ἀνυμνήσωμεν τὸ σεπτὸν καὶ ἅγιον σῶμα, τὸ χωρῆσαν τὸν ἡμῖν ἀθεώρητον καὶ Κύριον. Διόπερ καὶ ἡμεῖς τὴν μνήμην σου ἑορτάζοντες, ἐκβοῶμέν σοι Πανύμνητε· Χριστιανῶν τὸ κέρας ὕψωσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος ά.

Ἐν τῇ Γεννήσει τὴν Παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν Κόσμον οὐ κατέλιπες, Θεοτόκε· μετέστης πρὸς τὴν ζωὴν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς· καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος πλ. β'.

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν· ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας Ἀειπάρθενον.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Τῇ ἀθανάτῳ σου Κοιμήσει, Θεοτόκε Μήτηρ τῆς ζωῆς, νεφέλαι τοὺς Ἀποστόλους αἰθερίους διήρπαζον· καὶ

κοσμικῶς διεσπαρμένους, ὁμοχώρους παρέστησαν τῷ ἀχράντῳ σου Σώματι· οἳ καὶ κηδεύσαντες σεπτῶς, τὴν φωνὴν τοῦ Γαβριὴλ, μελῳδοῦντες ἀνεβόων· Χαῖρε κεχαριτωμένη Παρθένε Μήτηρ ἀνύμφευτε, ὁ Κύριος μετὰ σοῦ· μεθ' ὧν ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ ΚΕ΄. ΑΥΓΟΥΣΤΟΥ.

Ἡ Ἐπάνοδος τῦ Λειψάνυ τοῦ Ἁγίυ Ἀποςόλυ Βαρθολομαίυ. Καὶ τοῦ Ἁγίου Ἀποστόλου Τίτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, τοῦ Ἁγίου Βαρθολομαίου.
Ἦχος πλ. β΄.

Ἔστησας ἐν θαλάσσῃ τὸ ὅρμημα, πολυχρόνιος νεκρὸς, καὶ τὴν τρίβον σου ἐν ὕδασι πολλοῖς, Βαρθολομαῖε πανεύφημε, ἀνατολῆς ἐξορμώμενος. Δίκαιοι γὰρ εἰς τὸν αἰῶνα ζῶσι, προνοίᾳ τοῦ σοῦ Διδασκάλου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ὃν ἱκέτευε Ἀπόστολε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα, τοῦ Ἁγίου Τίτου.
Ἦχος πλ. β΄.

Τῆς ἐκλογῆς τοῦ σκεύους, Παύλου Θεοκήρυκος φοιτητὴς γενόμενος, καὶ μυηθεὶς τὰ θεῖα παρ' αὐτοῦ διδάγματα, εἰς τὰ Ἔθνη πρὸς Πίστιν ἀπεστάλης, ἐπιστρέφειν καὶ φωτίζειν, τῇ αἴγλῃ τῶν λόγων σου. Ὅθεν εἰς τὰ πέρατα διέδραμες Ἀπόστολε Τίτε, εὐαγγελιζόμενος πᾶσι τὸν σαρκωθέντα Θεόν· ὃν καθικέτευε, τοῦ σωθῆναι τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν ἀεισέβαστον μνήμην σου.

Ἀπολυτίκιον. Ἦχος γ΄.

Ἀπόστολοι Ἅγιοι Βαρθολομαῖε καὶ Τίτε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον τοῦ Ἁγίου Τίτου. Τὰ ἄνω ζητῶν. Ἦχος β'.

Τοῦ Παύλου δειχθεὶς, συνόμιλος Ἀπόστολε, σὺν τούτῳ ἡμῖν, τὸν λόγον προκατήγγειλας, τῆς ἐνθέου χάριτος, μυστολέκτα Τίτε μακάριε. Διὰ τοῦτο βοῶμέν σοι· μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Εἰς τοὺς Αἴνους. Δόξα, τοῦ Ἁγίου Βαρθολομαίου. Ἦχος πλ. ά. Χαίροις Ἀσκητικῶν.

Χαίροις ἡ μυροθήκη Χριστοῦ· τὸ ἐκλεκτόν τε καὶ εὐῶδες θυμίαμα· τὸ ῥόδον τοῦ Παραδείσου, ὁ τῶν πιστῶν φωτισμός· ὁ τοῦ Λόγου Κῆρυξ μεγαλόφωνος· ὁ νοῦς ὁ οὐράνιος. Μαθητὴς ὁ Θεόλεκτος· ἡ θεία βάσις, τῶν δογμάτων ὁ ἔμψυχος, καὶ κατάστερος, Οὐρανὸς ὁ πολύφωτος. Ἥλιος ὁ ταῖς λάμψεσι, ταῖς θείαις τὰ πέρατα, καταφαιδρύνων ἀπαύστως. Βαρθολομαῖε Ἀπόστολε, Χριστὸν ἐκδυσώπει, τοῖς τιμῶσί σε δοθῆναι τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Τοῦ Ἁγίου Τίτου. Ἦχος πλ. ά.

Ἀποστολικοῖς ἀγῶσι σαυτὸν κατακοσμήσας, τῶν Ἀποστόλων συνόμιλος γέγονας, Τίτε Ἀπόστολε· πανταχοῦ γὰρ τὸν λόγον τῆς Πίστεως κηρύξας, ἀπείληφας τὸ βραβεῖον τῆς ἄνω κλήσεως. Κρήτη γάρ σου κομπάζει τὰ θαύματα, ὁμοῦ καὶ τὰ διδάγματα· καὶ ἡ λάρναξ τοῖς ἐν αὐτῇ ἐν Πίστει προσιοῦσι, βρύει ἰάματα· μεθ' ὧν καὶ ἡμῖν ἔμβρισον ψυχικῶν νοσημάτων, καὶ κινδύνων ἐξάρπασον, καὶ πάσης περιστάσεως, τοὺς ἐν πίστει τελοῦντας τὸ ἱερόν σου μνημόσυνον.

ΕΙΣ ΤΗΝ ΚϚ'. ΑΥΓΟΥΣΤΟΥ.

Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάσαφ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος ά.

Χαρμονικῶς ἐκτελοῦμεν τὴν μνήμην σου, Ἰωάσαφ Ἰσαπόστολε, πάντων Ἀνάκτων βάσις, καὶ καύχημα·

ἀγρευθεὶς γὰρ ὑπὸ Βαρλαὰμ τοῦ Τρισμάκαρος, τὴν Ὀρθόδοξον πίστιν ἐπλούτησας· ὅθεν καὶ πρόσκαιρον δόξαν, καὶ Βασιλείαν ἐπίκηρον κατεφρόνησας, ἀνθ' ἧς ἐκληρώσω τὴν διαμένουσαν· ἀντὶ δὲ φθαρτοῦ Διαδήματος, τὸν ἀμαράντιον ἐκομίσω Στέφανον. Διὸ αἰτοῦμέν σε, πρέσβευε ὑπὲρ ἡμῶν, Πάτερ ἁγιώτατε.

Ἀπολυτίκιον. Τοῦ λίθου σφραγισθέντος. Ἦχος α΄.

Ἀσέβειαν μισῆσαι ἐκ Βαρλαὰμ διδασκόμενος, εὐσεβείᾳ ἐτρώθης Ἰωάσαφ τρισόλβιε· ἀφῆκας Βασιλείαν πατρικὴν, καὶ ἄρας ἐπὶ ὦμον τὸν Σταυρὸν, προσῆλθες ἐν ἐρήμῳ σὺν ἐκείνῳ, τῷ Χριστῷ μόνῳ λατρεύοντες· ὅθεν καὶ πιστῶς ὑμᾶς τιμῶ, καὶ πόθῳ κραυγάζω ὑμῖν· Ὁδηγήσατε νῦν κἀμὲ πρὸς τρίβον σωτήριον.

Κοντάκιον. Τῇ ὑπερμάχῳ. Ἦχος πλ. δ΄.

Τὸν τῆς ἁγνείας ἐραστὴν καὶ μέγαν πρόμαχον, τὸν τὴν εὐσέβειαν Χριστοῦ ἀνακηρύξαντα, καταχρέως ἀνυμνοῦμέν σε Ἰωάσαφ· σὺ γὰρ ὤφθης τοῖς πιστοῖς ἡμῖν κραταίωμα, καὶ ἑδραίωμα τῆς Ἐκκλησίας ἀδιάσειστον. Ὅθεν κράζομεν· χαίροις Πάτερ τρισόλβιε.

ΕΙΣ ΤΗΝ ΚΘ΄. ΑΥΓΟΥΣΤΟΥ.

Ἡ Ἀποτομὴ τῆς Τιμίας Κεφαλῆς τοῦ Προδρόμου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄.
Ἰωάννȣ Μοναχȣ̃.

Γενεθλίων τελουμένων τοῦ ἀναιδεστάδου Ἡρώδου, τῆς ἀσελγοῦς ὀρχιστρίδος, ἐπληροῦτο ἡ διάθεσις τȣ̃ ὅρκου· τοῦ γὰρ Προδρόμου ἡ Κεφαλὴ ἀποτμηθεῖσα, ὡς ὀψώνιον ἐφέρετο ἐπὶ πίνακι τοῖς ἀνακειμένοις. Ὢ συμποσίου μισητοῦ, ἀνοσιουργήματος, καὶ μιαιφονίας πλήρους· ἀλλ' ἡμεῖς τὸν Βαπτιστὴν, ὡς ἐν γεννητοῖς γυναικῶν μείζονα, ἐπαξίως τιμῶντες μακαρίζομεν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ δ'.

Πρόδρομε τοῦ Σωτῆρος, σὺ Βασιλεῖς ἤλεγξας, παρανομίαν μὴ ἐργάζεσθαι· διὸ παίγνιον ἀνόμου γυναικὸς, ἔπεισε τὸν Ἡρώδην ἀποτεμεῖν σου τὴν Κεφαλήν· καὶ διὰ τοῦτο ἀπὸ ἀνατολῶν Ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομά σου. Παῤῥησίαν ἔχων πρὸς Κύριον, ἐκτενῶς ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος β'.

Μνήμη Δικαίου μετ' ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος· ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκὶ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ Κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἦχος πλ α'.

Ἡ τοῦ Προδρόμου ἔνδοξος Ἀποτομὴ, Οἰκονομία γέγονέ τις θεϊκὴ, ἵνα καὶ τοῖς ἐν Ἅδῃ τοῦ Σωτῆρος κηρύξῃ τὴν ἔλευσιν. Θρηνείτω οὖν Ἡρωδιὰς ἄνομον φόνον αἰτήσασα· οὐ νόμον γὰρ τὸν τοῦ Θεοῦ, οὐ ζῶντα αἰῶνα ἠγάπησεν· ἀλλ' ἐπίπλαστον πρόσκαιρον.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Πάλιν Ἡρωδιὰς μαίνεται, πάλιν ταράττεται· ὢ ὄρχησμα δόλιον, καὶ πότος μετὰ δόλου! ὁ Βαπτιστὴς ἀπετέμνετο, καὶ Ἡρώδης ἐταράττετο. Πρεσβείαις Κύριε τοῦ σοῦ Προδρόμου, τὴν εἰρήνην παράσχου ταῖς ψυχαῖς ἡμῶν.

Εἰς τὴν Διάδοσιν τȣ̃ Ἁγίȣ ἐλαίου Ἰδιόμελα. Ἦχος δ'.

Γενέσιον ἀθέμιτον, καὶ συμπόσιον ἀναιδέστατον, Ἡρώδης ἀπετέλεσεν· ἀκολασίᾳ γὰρ γυναικείᾳ θελγόμενος, καὶ ἀσεβεῖ θηλυμανίᾳ κεντȣ́μενος, ἀπέτεμε Κεφαλὴν Προδρομικὴν, ἀλλ' οὐκ ἐξέτεμε γλῶσσαν Προφητικὴν, ἐλέγχουσαν αὐτοῦ τὴν παράνοιαν· ἐξέχεεν αἷμα ἀθῶον, καλύψαι θέλων ἁμαρτίαν ἄθεσμον· ἀλλ' οὐκ ἐν τούτῳ ἀπέκρυψε φωνὴν, βοῶντος πᾶσι μετάνοιαν· ἐκεῖνος μὲν συνευφραί-

νετο φόνῳ, ἡμεῖς δὲ συνεορτάσωμεν πόθῳ, τοῦ Βαπτιστοῦ Ἰωάννου τὴν μακαρίαν σφραγήν· προέλαβε γὰρ ἐν Ἅδου τὴν ζωὴν, κηρύξαι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τὴν ἐξ ὕψους ἀνατολὴν, Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν μόνον πολυέλεον.

Ἦχος δ'.

Τὸν Προφήτην καὶ Μάρτυρα, καὶ Βαπτιστὴν τοῦ Σωτῆρος, δεῦτε Λαοὶ εὐφημήσωμεν· οὗτος γὰρ ἐν σαρκὶ Ἄγγελος ὑπάρχων, τὸν Ἡρώδην διήλεγξε, τῆς παρανόμου μοιχείας τὴν πρᾶξιν κατακρίνας αὐτοῦ, καὶ δι' ἀνόμου ὀρχήσεως τὴν τιμίαν Κεφαλὴν ἀποτέμνεται, ὁ τοῖς ἐν Ἅδῃ εὐαγγελιζόμενος τὴν ἐκ νεκρῶν Ἀνάστασιν, καὶ πρεσβεύων ἐκτενῶς τῷ Κυρίῳ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος δ'.

Τὸν Προφήτην καὶ Βαπτιστὴν τοῦ Σωτῆρος, δεῦτε πιστοὶ εὐφημήσωμεν, ὅτι φυγαδεύων ἐν τῇ ἐρήμῳ ηὐλίζετο, μέλι ἄγριον καὶ ἀκρίδας ἐσθίων· καὶ Βασιλέα παρανομοῦντα ἤλεγξεν· ἡμῶν δὲ τὴν ὀλιγοψυχίαν παρεκάλει λέγων· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ Βασιλεία τῶν Οὐρανῶν.

ΕΙΣ ΤΗΝ ΛΑ'. ΑΥΓΟΥΣΤΟΥ.

Ἡ Κατάθεσις τῆς Τιμίας Ζώνης τῆς Ὑπεραγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Ὡς Στέφανον ὑπέρλαμπρον, Πανάχραντε Θεοτόκε, τὴν Ζώνην σου τὴν ἁγίαν, ἡ Ἐκκλησία τοῦ Θεοῦ περιέθετο, καὶ φαιδρύνεται χαίρουσα σήμερον· καὶ μυστικῶς χορεύει Δέσποινα ἐκβοῶσά σοι· Χαῖρε διάδημα τίμιον, καὶ στέφανε τῆς θείας δόξης αὐτοῦ· χαῖρε ἡ μόνη δόξα τοῦ πληρώματος, καὶ αἰώνιος εὐφροσύνη· χαῖρε τῶν εἰς σὲ προστρεχόντων, λιμὴν καὶ προστασία, καὶ σωτηρία ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος β΄.

Φρένα καθάραντες καὶ νοῦν, σὺν τοῖς Ἀγγέλοις καὶ ἡμεῖς πανηγυρίσωμεν, φαιδρῶς ἐξάρχοντες Δαβιτικὴν μελῳδίαν, τὴν Νεάνιδα Νύμφην τοῦ Βασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἀνάστηθι Κύριε λέγοντες, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ Κιβωτὸς τοῦ ἁγιάσματός σου· Ὡς γὰρ παλάτιον τερπνὸν, ταύτην κατεκόσμησας, καὶ κατεκλήρωσας αὐτὴν τῇ πόλει σου Δέσποτα, περιποιεῖσθαι καὶ σκέπειν, ἐκ πολεμίων Βαρβάρων, τῇ κραταιᾷ δυνάμει σου, ταῖς ἱκεσίαις αὐτῆς.

Ἀπολυτίκιον. Ἦχος πλ. δ΄.

Θεοτόκε Ἀειπάρθενε τῶν ἀνθρώπων ἡ σκέπη, Ἐσθῆτα καὶ Ζώνην τοῦ ἀχράντου σου σώματος, κραταιὰν τῇ πόλει σου περιβολὴν ἐδωρήσω, τῷ ἀσπόρῳ τόκῳ σου ἄφθαρτα διαμείναντα· ἐπὶ σοὶ γὰρ καὶ φύσις καινοτομεῖται καὶ χρόνος. Διὸ δυσωποῦμέν σε, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἦχος β΄. Τὴν ἐν πρεσβείαις.

Τὴν Θεοδόχον γαστέρα σου Θεοτόκε, περιλαβοῦσα ἡ Ζώνη σου ἡ τιμία, κράτος τῇ Πόλει σου ἀπροσμάχητον, καὶ θησαυρὸς ὑπάρχει τῶν ἀγαθῶν ἀνέκλειπτος, ἡ μόνη τεκοῦσα Ἀειπάρθενος.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος β΄.

Ὡς Στέφανον ὑπέρλαμπρον, Παναχραντε Θεοτόκε, τὴν Ζώνην σου τὴν ἁγίαν, ἡ Ἐκκλησία τοῦ Θεοῦ περιέθετο, καὶ φαιδρύνεται χαίρουσα σήμερον· καὶ μυστικῶς χορεύει Δέσποινα ἐκβοῶσά σοι· Χαῖρε διάδημα τίμιον, καὶ στέφανε τῆς θείας δόξης αὐτοῦ· χαῖρε ἡ μόνη δόξα τοῦ πληρώματος, καὶ αἰώνιος εὐφροσύνη· χαῖρε τῶν εἰς σὲ προστρεχόντων, λιμὴν καὶ προστασία, καὶ σωτηρία ἡμῶν.



ΔΟΞΑΣΤΙΚΑ

ΑΠΟΛΥΤΙΚΙΑ ΚΑΙ ΚΟΝΤΑΚΙΑ

ΤΩΝ ΕΟΡΤΩΝ ΤΟΥ ΤΡΙΩΔΙΟΥ.



ΚΥΡΙΑΚΗ ΤΟΥ ΤΕΛΩΝΟΥ ΚΑΙ ΦΑΡΙΣΑΙΟΥ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ'.

Παντοκράτορ Κύριε, οἶδα πόσα δύνανται τὰ δάκρυα. Ἐζεκίαν γὰρ ἐκ τῶν πυλῶν τοῦ θανάτου ἀνήγαγον· τὸν ἁμαρτωλὸν ἐκ τῶν χρονίων πταισμάτων ἐῤῥύσαντο· τὸν δὲ Τελώνην, ὑπὲρ τὸν Φαρισαῖον ἐδικαίωσαν· καὶ δέομαι σὺν αὐτοῖς ἀριθμήσας, ἐλέησόν με.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. ά.

Βεβαρημένων τῶν ὀφθαλμῶν μου ἐκ τῶν ἀνομιῶν μου, οὐ δύναμαι ἀτενίσαι, καὶ ἰδεῖν τὸν αἰθέρα τοῦ Οὐρανοῦ· ἀλλὰ δέξαι με ὡς τὸν Τελώνην, μετανοοῦντα Σωτὴρ, καὶ ἐλέησόν με.

Ἀπολυτίκιον, τὸ Ἀναστάσιμον τοῦ Ἤχου. Ἦχος δ'.

Κοντάκιον. Ἐπεφάνης σήμερον.

Φαρισαίου φύγωμεν ὑψηγορίαν, καὶ Τελώνου μάθωμεν, ὕψος ῥημάτων ταπεινῶν, ἐν μετανοίᾳ κραυγάζοντες· Σῶτερ τοῦ Κόσμου, ἱλάσθητι τοῖς δούλοις σου.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Ταῖς ἐξ ἔργων καυχήσεσι, Φαρισαῖον δικαιοῦντα ἑαυτὸν, κατέκρινας Κύριε, καὶ Τελώνην μετριοπαθήσαντα, καὶ στεναγμοῖς ἱλασμὸν αἰτούμενον, ἐδικαίωσας· οὐ γὰρ προσίεσαι τοὺς μεγαλόφρονας λογισμοὺς, καὶ τὰς

συντετριμμένας καρδίας οὐκ ἐξουθενεῖς. Διὸ καὶ ἡμεῖς σοὶ προσπίπτομεν εν ταπεινώσει, τῷ παθόντι δι' ἡμᾶς, παράσχου τὴν ἄφεσιν, καὶ τὸ μέγα ἔλεος.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΑΣΩΤΟΥ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'.

Ὢ πόσων ἀγαθῶν ὁ ἄθλιος ἐμαυτὸν ἐστέρησα· ὢ ποίας Βασιλείας ἐξέπεσα ὁ ταλαίπωρος, ἐγώ· τὸν πλοῦτον ἀνάλωσα, ὅνπερ ἔλαβον, τὴν ἐντολὴν παρέβην. Οἴμοι τάλαινα ψυχή, τῷ πυρὶ τῷ αἰωνίῳ λοιπὸν καταδικάζεσαι. Διὸ πρὸ τέλους βόησον Χριστῷ τῷ Θεῷ· ὡς τὸν Ἄσωτον δέξαι με Υἱόν, ὁ Θεὸς καὶ ἐλέησόν με.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Τῆς Πατρικῆς δωρεᾶς διασκορπίσας τὸν πλοῦτον, ἀλόγοις συνεβοσκόμην, ὁ τάλας κτήνεσι, καὶ τῆς αὐτῶν ὀρεγόμενος τροφῆς, ἐλίμωττον μὴ χορταζόμενος· ἀλλ' ὑποστρέψας πρὸς τὸν εὔσπλαγχνον Πατέρα, κραυγάζω σὺν δάκρυσι· Δέξαι με ὡς μίσθιον, προσπίπτοντα τῇ φιλανθρωπίᾳ σου, καὶ σῶσόν με.

Ἀπολυτίκιον τοῦ Ἤχου. Ἦχος γ'.

Κοντάκιον. Ἡ Παρθένος σήμερον.

Τῆς πατρῴας δόξης σου, ἀποσκιρτήσας ἀφρόνως, ἐν κακοῖς ἐσκόρπισα, ὅν μοι παρέδωκας πλοῦτον· ὅθεν σοι τὴν τοῦ Ἀσώτου φωνὴν προσφέρω. Ἥμαρτον ἐνώπιόν σου, Πάτερ Οἰκτίρμον· δέξαι με μετανοοῦντα, καὶ ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Πάτερ ἀγαθὲ ἐμακρύνθην ἀπὸ σοῦ, μὴ ἐγκαταλίπῃς με, μηδὲ ἀχρεῖον δείξῃς τῆς Βασιλείας σου· ὁ ἐχθρὸς ὁ παμπόνηρος ἐγύμνωσέ με, καὶ ἦρέ μου τὸν πλοῦτον· τῆς ψυχῆς τὰ χαρισματα ἀσώτως διεσκόρπισα. Ἀναστὰς οὖν, ἐπιστρέψας πρὸς σὲ ἐκβοῶ· ποίησόν με ὡς ἕνα τῶν μι-

ςθίων σου, ὁ δι' ἐμὲ ἐν Σταυρῷ τὰς ἀχράντους σου χεῖρας ἁπλώσας, ἵνα τοῦ δεινοῦ θηρὸς ἀφαρπάσῃς με, καὶ τὴν πρώτην καταστολὴν ἐπενδύσῃς με, ὡς μόνος πολυέλεος.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΑΠΟΚΡΕΩ.

Μνήμην ἐπιτελοῦμεν τῶν ἀπ' αἰῶνος Κεκοιμημένων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ'.

Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ' εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος. Ὢ τοῦ θαύματος! τί το περὶ ἡμᾶς, τοῦτο γέγονε Μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ; πῶς συνεζεύχθημεν τῷ θανάτῳ; ὄντως Θεοῦ προστάξει ὡς γέγραπται, τοῦ παρέχοντος τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.


Ἀρχή μοι καὶ ὑπόστασις, τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτουτε καὶ ὁρατῆς με ζῶον συμπῆξαι φύσεως, γῆθέν μου τὸ σῶμα διέπλασα· δέδωκας δέ μοι ψυχὴν, τῇ θείᾳ σου, καὶ ζωοποιῷ ἐμπνεύσει. Διὸ Σωτὴρ τοὺς δούλους σου ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων ἀνάπαυσον.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ὁ βάθει Σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων μόνε Δημιουργὲ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου· ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ Ποιητῇ καὶ Πλάστῃ καὶ Θεῷ ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Σὲ καὶ τεῖχος, καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεὸν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ Σωτηρία.



Κοντάκιον. Ἦχος πλ. δ΄.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον Χριστὲ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμὸς, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Εἰς τοὺς Αἴνους. Δόξα. Νεκρώσιμον. Ἦχος β΄.

Ὡς ἄνθος μαραίνεται, καὶ ὡς ὄναρ παρέρχεται, καὶ διαλύεται πᾶς ἄνθρωπος· πάλιν δὲ ἠχούσης τῆς σάλπιγγος, νεκροὶ ὡς ἐν συσσεισμῷ πάντες ἀναστήσονται, πρὸς τὴν σὴν ὑπάντησιν Χριστὲ ὁ Θεός· τότε Δέσποτα οὓς μετέστησας ἐξ ἡμῶν, ἐν ταῖς τῶν Ἁγίων σου κατάταξον σκηναῖς, τὰ πνεύματα Δέσποτα τῶν σῶν δούλων ἀεί.


Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα.

Ἦχος πλ. β΄.

Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν ἡ τοῦ ξύλου ἀπόγευσις, πάλαι ἐν Ἐδὲμ, ὅτε ὄφις ἰὸν ἐξηρεύξατο· δι᾽ αὐτοῦ γὰρ εἰσῆλθεν ὁ θάνατος, παγγενῆ κατεσθίων τὸν ἄνθρωπον· ἀλλ᾽ ἐλθὼν ὁ Δεσπότης, καθεῖλε τὸν δράκοντα, καὶ ἀνάπαυσιν ἡμῖν ἐδωρήσατο. Πρὸς αὐτὸν οὖν βοήσωμεν· φεῖσαι Σωτὴρ, καὶ οὓς προσελάβου, μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐν σοφίᾳ τὰ πάντα δημιουργῶν, καὶ πληρῶν. Προφήτας ἐξαπέστειλας Χριστὲ, προφητεῦσαί σου τὴν παρουσίαν, καὶ Ἀποστόλους, κηρῦξαί σου τὰ μεγαλεῖα· καὶ οἱ μὲν προεφήτευσαν τὴν ἔλευσίν σου· οἱ δὲ τῷ Βαπτίσματι ἐφώτισαν τὰ Ἔθνη. Μάρτυρες δὲ παθόντες, ἔτυχον ὧν περ ἐπόθουν· καὶ πρεσβεύει σοι ὁ χορὸς τῶν ἀμφοτέρων, σὺν τῇ Τεκούσῃ σε· ἀνάπαυσον ὁ Θεὸς, ψυχὰς ἃς προσελάβου, καὶ ἡμᾶς καταξίωσον τῆς Βασιλείας σου, ὁ Σταυρὸν ὑπομείνας, δι᾽ ἐμὲ τὸν κατάκριτον, ὁ Λυτρωτής μου καὶ Θεός.



ΤΗ͂ι ΚΥΡΙΑΚΗ͂ι ΤΗΣ ΑΠΟΚΡΕΩ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ΄.

Ὅταν τίθωνται Θρόνοι, καὶ ἀνοίγωνται Βίβλοι, καὶ Θεὸς εἰς κρίσιν καθέζηται, ὢ ποῖος φόβος τότε, Ἀγγέλων παρισταμένων ἐν φόβῳ, καὶ ποταμοῦ πυρὸς ἕλκοντος· τί ποιήσωμεν τότε, οἱ ἐν πολλαῖς ἁμαρτίαις ὑπεύθυνοι ἄνθρωποι; ὅταν δὲ ἀκούσωμεν καλοῦντος αὐτοῦ, τοὺς εὐλογημένους τοῦ Πατρὸς εἰς βασιλείαν, ἁμαρτωλοὺς δὲ ἀποπέμποντος εἰς κόλασιν, τίς ὑποστήσεται τὴν φοβερὰν ἐκείνην ἀπόφασιν; ἀλλὰ μόνε φιλάνθρωπε Σωτήρ, ὁ Βασιλεὺς τῶν αἰώνων, πρὶν τὸ τέλος φθάσῃ, διὰ τῆς μετανοίας ἐπιστρέψας, ἐλέησόν με.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ΄.

Οἴμοι μέλαινα ψυχή, ἕως πότε τῶν κακῶν οὐκ ἐκκόπτῃ; ἕως πότε τῇ ῥαθυμίᾳ κατάκεισαι; τί οὐκ ἐνθυμῇ τὴν φοβερὰν ὥραν τοῦ θανάτου; τί οὐ τρέμεις ὅλη τὸ φρικτὸν Βῆμα τοῦ Σωτῆρος; ἄρα τί ἀπολογήσῃ, ἢ τί ἀποκριθήσῃ; τὰ ἔργα σου παρίστανται πρὸς ἔλεγχόν σου· αἱ πράξεις ἐλέγχουσι κατηγοροῦσαι. Λοιπὸν ὦ ψυχή, ὁ χρόνος ἐφέστηκε, δράμε πρόφθασον, πίστει βόησον· Ἥμαρτον Κύριε, ἥμαρτόν σοι· ἀλλ᾽ οἶδα φιλάνθρωπε τὸ εὔσπλαγχνόν σου. Ὁ ποιμὴν ὁ καλός, μὴ χωρίσῃς με τῆς ἐκ δεξιῶν σου παραστάσεως, διὰ τὸ μέγα σου ἔλεος.

Ἀπολυτίκιον τοῦ Ἤχου.

Κοντάκιον. Ἦχος α΄.

Ὅταν ἔλθῃς ὁ Θεὸς ἐπὶ γῆς μετὰ δόξης, καὶ τρέμουσι τὰ σύμπαντα· ποταμὸς δὲ τοῦ πυρὸς πρὸ τοῦ Βήματος ἕλκει, καὶ βίβλοι ἀνοίγονται, καὶ τὰ κρυπτὰ δημοσιεύονται· τότε ῥῦσαί με ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου, καὶ ἀξίωσον, ἐκ δεξιῶν σου με στῆναι, Κριτὰ δικαιότατε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος α'.

Προκαθάρωμεν ἑαυτοὺς ἀδελφοί, τῇ Βασιλίδι τῶν ἀρετῶν· ἰδοὺ γὰρ παραγέγονε, πλοῦτον ἡμῖν ἀγαθῶν κομίζουσα· τῶν παθῶν κατευνάζει τὰ οἰδήματα, καὶ τῷ Δεσπότῃ καταλλάττει τοὺς πταίσαντας· διὸ μετ' εὐφροσύνης ταύτην ὑποδεξώμεθα, βοῶντες Χριστῷ τῷ Θεῷ. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀκατακρίτους ἡμᾶς διαφύλαξον, δοξολογοῦντάς σε τὸν μόνον ἀναμάρτητον.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΤΥΡΙΝΗΣ.

Μνήμην ἐπιτελοῦμεν πάντων τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν, τῶν ἐν ἀσκήσει λαμψάντων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'.

Τὸ κατ' εἰκόνα τηρήσαντες ἀλώβητον, νοῦν ἡγεμόνα, κατὰ παθῶν ὀλεθρίων, ἀσκητικῶς ἐνστησάμενος, εἰς τὸ καθ' ὁμοίωσιν ὡς δυνατὸν ἀνελήλυθας· ἀνδρικῶς γὰρ τὴν φύσιν ἐκβιασάμενος, ἔσπευσας τὸ χεῖρον, καθυποτάξαι τῷ κρείττονι, καὶ τὴν σάρκα δουλῶσαι τῷ πνεύματι. Ὅθεν Μοναζόντων, ἀνεδείχθης ἀκρότης, πολιστὴς τῆς Ἐρήμου, εὐθρομούντων ἀλείπτης, Κανὼν ἀρετῆς ἀκριβέστατος· καὶ νῦν ἐν Οὐρανοῖς τῶν ἐσόπτρων λυθέντων Μακάριε, καθαρῶς ἐποπτεύεις τὴν ἁγίαν Τριάδα, ἐντυγχάνων ἀμέσως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων σε.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Τῶν μοναστῶν τὰ πλήθη, τοὺς καθηγητὰς τιμῶμεν, καὶ Πατέρας ἡμῶν· διὰ γὰρ αὐτῶν, τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν· μακάριοι ὑμεῖς οἱ τῷ Χριστῷ δουλεύσαντες, καὶ ἐχθροῦ θριαμβεύσαντες τὴν δύναμιν. Ἀγγέλων συνόμιλοι, Δικαίων ὁμόσκηνοι, καὶ Ὁσίων· μεθ' ὧν πρεσβεύσατε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ᾽ ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ᾽ ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Ὡς εὐσεβείας κήρυκας, καὶ ἀσεβείας φίμωτρα, τῶν Θεοφόρων τὸν δῆμον ἐφαίδρυνας, τὴν ὑφήλιον λάμποντας, ἐν εἰρήνῃ τελείᾳ. Ταῖς αὐτῶν ἱκεσίαις, τοὺς σὲ δοξάζοντας καὶ μεγαλύνοντας διαφύλαξον, ψάλλοντάς σοι Κύριε· Ἀλληλούϊα.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β΄.

Ὅσιοι Πατέρες, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων ὑμῶν· διὸ ἐν τοῖς Οὐρανοῖς εὕρετε μισθὸν τῶν καμάτων ὑμῶν. Τῶν δαιμόνων ὠλέσατε τὰς φάλαγγας, τῶν Ἀγγέλων ἐφθάσατε τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζηλώσατε. Παῤῥησίαν ἔχοντες πρὸς Χριστὸν τὸν Θεὸν, εἰρήνην αἰτήσασθε ταῖς ψυχαῖς ἡμῶν.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ.

Ἡ Ἐξορία τοῦ Ἀδάμ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄.

Ἐκάθισεν Ἀδὰμ ἀπέναντι τοῦ Παραδείσου, καὶ τὴν ἰδίαν γύμνωσιν θρηνῶν ὠδύρετο· οἴμοι, τὸν ἀπάτῃ πονηρᾷ πεισθέντα καὶ κλαπέντα, καὶ δόξης μακρυνθέντα! οἴμοι, τὸν ἁπλότητι γυμνὸν, νῦν δὲ ἠπορημένον! ἀλλ᾽ ὦ Παράδεισε, οὐκ ἔτι σου τῆς τρυφῆς ἀπολαύσω; οὐκ ἔτι ὄψομαι τὸν Κύριον καὶ Θεόν μου καὶ Πλάστην; εἰς γῆν γὰρ ἀπελεύσομαι, ἐξ ἧς προσελήφθην. Ἐλεῆμον, οἰκτίρμον, βοῶ σοι· Ἐλέησόν με τὸν παραπεσόντα.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Ἐξεβλήθη Ἀδὰμ τοῦ Παραδείσου διὰ τῆς βρώσεως· διὸ καὶ καθεζόμενος ἀπέναντι τούτου, ὠδύρετο ὀλολύζων, ἐλεεινῇ τῇ φωνῇ, καὶ ἔλεγεν· οἴμοι! τί πέπονθα ὁ τάλας ἐγώ; μίαν ἐντολὴν παρέβην τὴν τοῦ Δεσπότου, καὶ τῶν ἀγαθῶν παντοίων ἐστέρημαι. Παράδεισε ἁγιώτατε, ὁ δι' ἐμὲ πεφυτευμένος, καὶ διὰ τὴν Εὔαν κεκλεισμένος, ἱκέτευε τῷ σὲ ποιήσαντι, κἀμὲ πλάσαντι, ὅπως τῶν σῶν ἀνθέων πλησθήσωμαι. Διὸ καὶ πρὸς αὐτὸν ὁ Σωτήρ· Τὸ ἐμὸν πλάσμα οὐ θέλω ἀπολέσθαι, ἀλλὰ βούλομαι τοῦτο σώζεσθαι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὅτι τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω.

Ἀπολυτίκιον τοῦ Ἤχου. Ἦχος πλ. δ'. Κοντάκιον.

Τῆς Σοφίας ὁδηγέ, φρονήσεως χορηγέ, τῶν ἀφρόνων παιδευτά, καὶ τῶν πτωχῶν ὑπερασπιστά, στήριξον, συνέτισον τὴν καρδίαν μου Δέσποτα· σὺ διδούς μοι λόγον, ὁ τοῦ Πατρὸς Λόγος· ἰδοὺ γὰρ τὰ χείλη μου, οὐ μὴ κωλύσω ἐν τῷ κράζειν σοι· Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Ἔφθασε καιρός, ἡ τῶν πνευματικῶν ἀγώνων ἀρχή, ἡ κατὰ τῶν δαιμόνων νίκη, ἡ πάνοπλος Ἐγκράτεια, ἡ τῶν Ἀγγέλων εὐπρέπεια, ἡ πρὸς Θεὸν παῤῥησία· δι' αὐτῆς γὰρ Μωϋσῆς, γέγονε τῷ Κτίστῃ συνόμιλος, καὶ φωνὴν ἀοράτως ἐν ταῖς ἀκοαῖς ὑπεδέξατο. Κύριε, δι' αὐτῆς ἀξίωσον καὶ ἡμᾶς, προσκυνῆσαι σου τὰ Πάθη, καὶ τὴν Ἁγίαν Ἀνάστασιν ὡς φιλάνθρωπος.

ΤΩ ΣΑΒΒΑΤΩ ΠΡΩΤΩ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὸ διὰ τῶν Κολύβων Θαῦμα παρὰ τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τύρωνος ἑορτάζομεν.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Ὀργάνῳ χρησάμενος ὁ δυσμενής, τῷ συναποστάτῃ Τυράννῳ, δι' ἐπινοίας χαλεπῆς, τὸν νηστείᾳ καθαγνιζόμενον λαὸν εὐσεβῆ, τοῖς ἐκ μιαρῶν θυσιῶν κεχραμένοις βρώμασιν, ἐπειρᾶτο καταμιαίνειν· ἀλλ' αὐτὸς τὸ ἐκείνου μηχάνημα σοφωτέρᾳ διέλυσας ἐπινοίᾳ, ὄναρ ἐπιστὰς τῷ τότε Ἀρχιερεῖ, καὶ τὸ βαθὺ τῆς γνώμης ἀνακαλύπτων, καὶ τὸ ἄτοπον τοῦ ἐγχειρήματος ὑποδηλῶν· καὶ δή σοι χαριστήρια θύοντες, Σωτῆρα ἐπιγραφόμεθα, ἐτήσιον ἀνάμνησιν, τοῦ γενομένου ποιούμενοι· καὶ τὸ λοιπὸν ἐξαιτούμενοι, τῶν ἐπινοιῶν τοῦ πονηροῦ ἀβλαβεῖς περισώζεσθαι, ταῖς πρὸς Θεόν σου πρεσβείαις, Μάρτυς Θεόδωρε.

Ἀπολυτίκιον. Ἦχος β'.

Μεγάλα τὰ τῆς Πίστεως κατορθώματα· ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ Ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο· πυρὶ γὰρ ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδύς, τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος πλ. δ'.

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα, ἔνδον λαβὼν ἐν καρδίᾳ σου, τὰς ἐναντίας δυνάμεις κατεπάτησας πολύαθλε, καὶ στέφει οὐρανίῳ ἐστέφθης, αἰωνίως ὡς ἀήττητος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Ἁγιωσύνης δωρεά, καὶ πλοῦτος θείας ζωῆς, πεφανέρωσαι τῷ Κόσμῳ Θεόδωρε· Χριστὸς γάρ σου σοφέ, τὴν μνήμην ἐδόξασεν· ἐν ᾗ συμφώνως οἱ πιστοί, γεγηθότες ὑμνοῦμεν, τοὺς ἀγῶνας τῶν ἄθλων σου.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος πλ. δ'.

Ἀθλητικὴν ἀνδρείαν, εὐσεβῶς καθοπλισθείς, Ἀθλοφόρε Χριστοῦ, καὶ λογικὴν λατρείαν μυστικῶς ὑπερμαχῶν τῇ δυνάμει αὐτοῦ, τῶν εἰδώλων τὸ ἀσεβές, καὶ τῶν Τυράννων τὸ ἀπηνές, ἀσθενὲς ἀπέδειξας, καταφρονῶν τῶν βασάνων, καὶ τοῦ προσκαίρου πυρός· ἀλλ' ὦ θείων δωρεῶν καὶ πρᾶγμα καὶ ὄνομα, ἀπὸ πάσης περιστάσεως, τῇ πρεσβείᾳ σου σῶζε, τοὺς τελοῦντας τὴν μνήμην σου.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΤΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἤτοι τῆς Ὀρθοδοξίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'.

Ἡ Χάρις ἐπέλαμψε τῆς ἀληθείας, τὰ προτυπούμενα πάλαι σκιωδῶς, νῦν ἀναφανδρὸν ἐκτετέλεσται· ἰδοὺ γὰρ ἡ Ἐκκλησία τὴν ἔνσωμον Εἰκόνα Χριστοῦ, ὡς ὑπερκόσμιον κόσμον ἐπαμφιέννυται, τῆς σκηνῆς τοῦ Μαρτυρίου τὸν τύπον προϋπογράφουσα, καὶ τὴν Ὀρθόδοξον Πίστιν κατέχουσα· ἵνα ὃν σεβόμεθα, τούτου καὶ τὴν Εἰκόνα διακρατοῦντες μὴ πλανώμεθα· ἐνδυσάσθωσαν αἰσχύνην, οἱ οὕτω μὴ πιστεύοντες· ἡμῖν γὰρ δόξα τοῦ σαρκωθέντος ἡ μορφή, εὐσεβῶς προσκυνουμένη, οὐ θεοποιουμένη. Ταύτην κατασπαζόμενοι, πιστοὶ βοήσωμεν· Ὁ Θεὸς σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Εἰς τὸν Στίχον. Δόξα. Ἰδιόμελον. Ἦχος β'.

Οἱ ἐξ ἀσεβείας, εἰς εὐσέβειαν προβάντες, καὶ τῷ φωτὶ τῆς γνώσεως ἐλλαμφθέντες, ψαλμικῶς τὰς χεῖρας κροτήσωμεν, εὐχαριστήριον αἶνον Θεῷ προσάγοντες· καὶ τὰς ἐν τοίχοις καὶ πίναξι, καὶ ἱεροῖς σκεύεσιν ἐγχαραχθείσας Ἱερὰς Χριστοῦ Εἰκόνας τῆς Πανάγνου, καὶ πάντων τῶν Ἁγίων τιμητικῶς προσκυνήσωμεν, ἀποβαλλόμενοι τὴν δυσσεβῆ τῶν κακοδόξων θρησκείαν· ἡ γὰρ τιμὴ

ΤΩ ΣΑΒΒΑΤΩ ΠΡΩΤΩ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὸ διὰ τῶν Κολύβων Θαῦμα παρὰ τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τύρωνος ἑορτάζομεν.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Ὀργάνῳ χρησάμενος ὁ δυσμενὴς, τῷ συναποστάτῃ Τυράννῳ, δι' ἐπινοίας χαλεπῆς, τὸν νηστείᾳ καθαγνιζόμενον λαὸν εὐσεβῆ, τοῖς ἐκ μιαρῶν θυσιῶν κεχραμένοις βρώμασιν, ἐπειρᾶτο καταμιαίνειν· ἀλλ' αὐτὸς τὸ ἐκείνου μηχάνημα σοφωτέρᾳ διέλυσας ἐπινοίᾳ, ὄναρ ἐπιστὰς τῷ τότε Ἀρχιερεῖ, καὶ τὸ βαθὺ τῆς γνώμης ἀνακαλύπτων, καὶ τὸ ἄτοπον τοῦ ἐγχειρήματος ὑποδηλῶν· καὶ δή σοι χαριστήρια θύοντες, Σωτῆρα ἐπιγραφόμεθα, ἐτήσιον ἀνάμνησιν, τοῦ γενομένου ποιούμενοι· καὶ τὸ λοιπὸν ἐξαιτούμενοι, τῶν ἐπινοιῶν τοῦ πονηροῦ ἀβλαβεῖς περισώζεσθαι, ταῖς πρὸς Θεόν σου πρεσβείαις, Μάρτυς Θεόδωρε.

Ἀπολυτίκιον. Ἦχος β'.

Μεγάλα τὰ τῆς Πίστεως κατορθώματα· ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ Ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο· πυρὶ γὰρ ὁλοκαυτωθεὶς, ὡς ἄρτος ἡδὺς, τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος πλ. δ'.

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα, ἔνδον λαβὼν ἐν καρδίᾳ σου, τὰς ἐναντίας δυνάμεις κατεπάτησας πολύαθλε, καὶ στέφει οὐρανίῳ ἐστέφθης, αἰωνίως ὡς ἀήττητος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Ἁγιωσύνης δωρεὰ, καὶ πλοῦτος θείας ζωῆς, πεφανέρωσαι τῷ Κόσμῳ Θεόδωρε· Χριστὸς γάρ σου σοφὲ, τὴν μνήμην ἐδόξασεν· ἐν ᾗ συμφώνως οἱ πιστοὶ, γεγηθότες ὑμνοῦμεν, τοὺς ἀγῶνας τῶν ἄθλων σου.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Δόξα. Ἦχος πλ. δ'.

Ἀθλητικὴν ἀνδρείαν, εὐσεβῶς καθοπλισθείς, Ἀθλοφόρε Χριστοῦ, καὶ λογικὴν λατρείαν μυστικῶς ὑπερμαχῶν τῇ δυνάμει αὐτοῦ, τῶν εἰδώλων τὸ ἀσεβές, καὶ τῶν Τυράννων τὸ ἀπηνές, ἀσθενὲς ἀπέδειξας, καταφρονῶν τῶν βασάνων, καὶ τοῦ προσκαίρου πυρός· ἀλλ' ὦ θείων δωρεῶν καὶ πρᾶγμα καὶ ὄνομα, ἀπὸ πάσης περιστάσεως, τῇ πρεσβείᾳ σου σῶζε, τοὺς τελοῦντας τὴν μνήμην σου.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΤΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἤτοι τῆς Ὀρθοδοξίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος β'.

Ἡ Χάρις ἐπέλαμψε τῆς ἀληθείας, τὰ προτυπούμενα πάλαι σκιωδῶς, νῦν ἀναφανδὸν ἐκτετέλεσται· ἰδοὺ γὰρ ἡ Ἐκκλησία τὴν ἔνσωμον Εἰκόνα Χριστοῦ, ὡς ὑπερκόσμιον κόσμον ἐπαμφιέννυται, τῆς σκηνῆς τοῦ Μαρτυρίου τὸν τύπον προϋπογράφουσα, καὶ τὴν Ὀρθόδοξον Πίστιν κατέχουσα· ἵνα ὃν σεβόμεθα, τούτου καὶ τὴν Εἰκόνα διακρατοῦντες μὴ πλανώμεθα· ἐνδυσάσθωσαν αἰσχύνην, οἱ οὕτω μὴ πιστεύοντες· ἡμῖν γὰρ δόξα τοῦ σαρκωθέντος ἡ μορφή, εὐσεβῶς προσκυνουμένη, οὐ θεοποιουμένη. Ταύτην κατασπαζόμενοι, πιστοὶ βοήσωμεν· Ὁ Θεὸς σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Εἰς τὸν Στίχον. Δόξα. Ἰδιόμελον. Ἦχος β'.

Οἱ ἐξ ἀσεβείας, εἰς εὐσέβειαν προβάντες, καὶ τῷ φωτὶ τῆς γνώσεως ἐλλαμφθέντες, ψαλμικῶς τὰς χεῖρας κροτήσωμεν, εὐχαριστήριον αἶνον Θεῷ προσάγοντες· καὶ τὰς ἐν τοίχοις καὶ πίναξι, καὶ ἱεροῖς σκεύεσιν ἐγχαραχθείσας Ἱερὰς Χριστοῦ Εἰκόνας τῆς Παναγνου, καὶ πάντων τῶν Ἁγίων τιμητικῶς προσκυνήσωμεν, ἀποβαλλόμενοι τὴν δυσσεβῆ τῶν κακοδόξων θρησκείαν· ἡ γὰρ τιμὴ

τῆς Εἰκόνος, ὥς φησι Βασίλειος, ἐπὶ τὸ πρωτότυπον διαβαίνει· αἰτούμενοι ταῖς πρεσβείαις τῆς ἀχράντου σου Μητρὸς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ πάντων τῶν Ἁγίων, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Τὸ Ἀναστάσιμον τοῦ Ἤχου.

Δόξα, τὸ παρόν. Ἦχος β'.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν Ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας, σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν σοι· Χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν Κόσμον.

Κοντάκιον Ἰδιόμελον. Ἦχος πλ. δ'.

Ὁ ἀπερίγραπτος Λόγος τοῦ Πατρὸς, ἐκ σοῦ Θεοτόκε περιεγράφη σαρκούμενος, καὶ τὴν ῥυπωθεῖσαν Εἰκόνα, εἰς τὸ ἀρχαῖον ἀναμορφώσας, τῷ θείῳ κάλλει συγκατέμιξεν· ἀλλ' ὁμολογοῦντες τὴν σωτηρίαν ἔργῳ καὶ λόγῳ, ταύτην ἀνιστοροῦμεν.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Μωσῆς τῷ καιρῷ τῆς ἐγκρατείας, νόμον ἐδέξατο, καὶ λαὸν ἐπεσπάσατο. Ἠλίας νηστεύσας, Οὐρανοὺς ἀπέκλεισε. Τρεῖς δὲ Παῖδες Ἀβραμιαῖοι, Τύραννον παρανομοῦντα, διὰ νηστείας ἐνίκησαν. Δι' αὐτῆς καὶ ἡμᾶς Σωτὴρ ἀξίωσον, τῆς Ἀναστάσεως τυχεῖν, οὕτω βοῶντας· Ἅγιος ὁ Θεὸς, Ἅγιος ἰσχυρὸς, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΤΗ ΚΥΡΙΑΚΗ ΔΕΥΤΕΡΑ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν, Γρηγορίου Ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Θαυματουργοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Ὅσιε τρισμάκαρ ἁγιώτατε Πάτερ· ὁ ποιμὴν ὁ καλὸς, καὶ τοῦ Ἀρχιποίμενος Χριστοῦ μαθητὴς, ὁ τιθεὶς

τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· αὐτὸς καὶ νῦν Πατὴρ ἡμῶν, Θεοφόρε Γρηγόριε, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Ἡ γρήγορος γλῶσσά σου πρὸς διδασκαλίαν, ἐν τοῖς ὠσὶ τῶν καρδιῶν ἐνηχοῦσα, τὰς τῶν ῥαθύμων ψυχὰς διανίστησι· καὶ θεοφθόγγοις λόγοις σου, κλίμαξ εὑρίσκεται, τοὺς ἐκ γῆς πρὸς Θεὸν ἀναφέρουσα. Διὸ Γρηγόριε, Θετταλίας τὸ θαῦμα, μὴ παύσῃ πρεσβεύων Χριστῷ, φωτισθῆναι τῷ θείῳ φωτὶ τοὺς τιμῶντάς σε.

Ἀπολυτίκιον, τὸ Ἀναστάσιμον. Καὶ τοῦ Ἁγίου. Ἦχος πλ. δ'

Ὀρθοδοξίας ὁ φωστήρ, Ἐκκλησίας τὸ στήριγμα, καὶ Διδάσκαλε, τῶν Μοναστῶν ἡ καλλονή, τῶν Θεολόγων ὑπέρμαχος ἀπροσμάχητος, Γρηγόριε Θαυματουργέ, Θεσσαλονίκης τὸ καύχημα, κῆρυξ τῆς χάριτος, ἱκέτευε διαπαντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τὸ τῆς Σοφίας ἱερὸν καὶ θεῖον ὄργανον, Θεολογίας τὴν λαμπρὰν συμφώνως σάλπιγγα, ἀνυμνοῦμέν σε Γρηγόριε θεορρῆμον· ἀλλ' ὡς νοῦς Νοῒ τῷ πρώτῳ παριστάμενος, πρὸς αὐτὸν τὸν νοῦν ἡμῶν Πάτερ ὁδήγησον, ἵνα κράζωμεν· Χαῖρε Κῆρυξ τῆς χάριτος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Τοῖς ἐν σκότει ἁμαρτημάτων πορευομένοις, φῶς ἀνέτειλας Χριστέ, τῷ καιρῷ τῆς ἐγκρατείας, καὶ τὴν εὔσημον ἡμέραν τοῦ Πάθους σου δεῖξον ἡμῖν, ἵνα βοῶμέν σοι· Ἀνάστα ὁ Θεός, ἐλέησον ἡμᾶς.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΡΙΤΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἡ Προσκύνησις τοῦ Τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος γ'.

Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἑκούσιον Σταύρωσιν, εἰς κοινὴν ἐξανάστασιν τοῦ γένους τῶν ἀνθρώπων κα-



ταδεξάμενος, καὶ τῷ καλάμῳ τοῦ Σταυροῦ, βαφαῖς ἐρυθραῖς τοὺς σαυτοῦ δακτύλους αἱματιώσας, τοῖς ἀφεσίμοις ἡμῖν βασιλικῶς ὑπογράψαι φιλανθρωπευσάμενος· μὴ παρίδῃς ἡμᾶς κινδυνεύοντας, καὶ πάλιν τὴν ἀπὸ σοῦ διάστασιν· ἀλλ' οἰκτείρησον μόνε μακρόθυμε, τὸν ἐν περιστάσει λαόν σου· καὶ ἀνάστηθι, πολέμησον τοὺς πολεμοῦντας ἡμᾶς, ὡς παντοδύναμος.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Ὁ συλλαχήσας Κύριε, τῷ πρᾳοτάτῳ Δαυΐδ, ὑποτάξαι τὸν ἀλλόφυλον, τῷ πιστῷ ἡμῶν Βασιλεῖ συμπολέμησον, καὶ τῷ ὅπλῳ τοῦ Σταυροῦ κατάβαλε τοὺς ἐχθροὺς ἡμῶν· δεῖξον εὔσπλαγχνε εἰς ἡμᾶς τὰ ἀρχαῖα ἐλέη σου, καὶ γνώτωσαν ἀληθῶς, ὅτι σὺ εἶ Θεός, καὶ ἐν σοὶ πεποιθότες νικῶμεν, πρεσβευούσης συνήθως τῆς ἀχράντου σου Μητρός, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος α'.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Κοντάκιον. Ἰδιόμελον. Ἦχος βαρύς.

Οὐκέτι φλογίνη ῥομφαία φυλάττει τὴν πύλην τῆς Ἐδέμ· αὐτῇ γὰρ ἐπῆλθε παράδοξος δέσις, τὸ ξύλον τοῦ Σταυροῦ, θανάτου τὸ κέντρον, καὶ Ἅδου τὸ νῖκος ἐλήλαται· ἐπέστης δὲ Σωτήρ μου βοῶν τοῖς ἐν Ἅδῃ· Εἰσάγεσθε πάλιν εἰς τὸν Παράδεισον.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Τὴν ὑψηλόφρονα γνώμην τῶν κακίστων Φαρισαίων, ὁ πάντων Κύριος παραβολικῶς ἐκφεύγειν ταύτην ἐδίδαξε, καὶ μὴ ὑψηλοφρονεῖν, παρ' ὃ δεῖ φρονεῖν πάντας ἐπαίδευσεν· ὑπογραμμὸς καὶ τύπος ὁ αὐτὸς γενόμενος, μέχρι Σταυροῦ καὶ θανάτου, ἑαυτὸν ἐκένωσεν. Εὐχαριστοῦντες οὖν σὺν τῷ Τελώνῃ εἴπωμεν· Ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ ἀπαθὴς διαμείνας Θεός, τῶν παθῶν ἡμᾶς ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ ΠΡΟΣΚΥΝΗΣΙΝ ΤΟΥ ΣΤΑΥΡΟΥ.

Δόξα. Ἦχος πλ. δ'.

Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ, προσιτός μοι γίνεται, καὶ πάσχει Πάθη, ἐλευθερῶν με τῶν παθῶν· ὁ φῶς παρέχων τυφλοῖς, ὑπὸ ἀνόμων χειλέων ἐμπτύεται, καὶ δίδωσι τὸν νῶτον, ὑπὲρ αἰχμαλώτων εἰς μάστιγας· τοῦτου ἡ Ἁγνὴ καὶ Μήτηρ, ἐπὶ Σταυροῦ θεωροῦσα, ὀδυνηρῶς ἐφθέγγετο· οἴμοι τέκνον ἐμόν, τί τοῦτο πεποίηκας; ὁ ὡραῖος κάλλει παρὰ πάντας βροτούς, ἄπνους ἄμορφος φαίνῃ, οὐκ ἔχων εἶδος, οὐδὲ κάλλος· οἴμοι τὸ ἐμὸν φῶς, οὐ δύναμαι ὑπνοῦντα καθορᾷν σε· τὰ σπλάγχνα τιτρώσκομαι, καὶ δεινή μοι ῥομφαία τὴν καρδίαν διέρχεται. Ἀνυμνῶ σου τὰ πάθη, προσκυνῶ σου τὸ εὔσπλαγχνον, μακρόθυμε Κύριε δόξα σοι.

Καὶ νῦν. Ἦχος πλ. β'.

Σήμερον τὸ Προφητικὸν πεπλήρωται λόγιον· ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε· καὶ ξύλου σωτηρίας γευσάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν ἐλευθερίας ἐτύχομεν· πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

ΚΥΡΙΑΚΗ ΤΕΤΑΡΤΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τῆς Κλίμακος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. α'.

Ὅσιε Πάτερ, τῆς φωνῆς τοῦ Εὐαγγελίου τοῦ Κυρίου ἀκούσας, τὸν Κόσμον κατέλιπες, τὸν πλοῦτον καὶ τὴν δόξαν εἰς οὐδὲν λογισάμενος· ὅθεν πᾶσιν ἐβόας· Ἀγαπήσατε τὸν Θεόν, καὶ εὑρήσετε χάριν αἰώνιον· μηδὲν προτιμήσητε τῆς ἀγάπης αὐτοῦ, ἵνα ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, εὑρήσητε ἀνάπαυσιν, μετὰ πάντων τῶν

Αγίων· ὧν ταῖς ἱκεσίαις Χριστὲ φύλαξον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα τοῦ Ὁσίου. Ἰδιόμελον.

Ἦχος β΄.

Τὸν ἐπὶ γῆς Ἄγγελον, καὶ ἐν Οὐρανοῖς ἄνθρωπον Θεοῦ, τοῦ Κόσμου τὴν εὐκοσμίαν, τὴν τρυφὴν τῶν ἀγαθῶν καὶ τῶν ἀρετῶν, τῶν Ἀσκητῶν τὸ καύχημα, Ἰωάννην τιμήσωμεν· πεφυτευμένος γὰρ ἐν τῷ Οἴκῳ τοῦ Θεοῦ, ἐξήνθησε δικαίως, καὶ ὡσεὶ κέδρος ἐν ἐρήμῳ, ἐπλήθυνε τὰ ποίμνια Χριστοῦ, τῶν λογικῶν προβάτων, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ.

Ἀπολυτίκιον, τὸ Ἀναστάσιμον. Καὶ τοῦ Ὁσίου.

Ἦχος α΄.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι Ἄγγελος, καὶ Θαυματουργὸς ἀνεδείχθης, Θεοφόρε Πατὴρ ἡμῶν Ἰωάννη· νηστείᾳ ἀγρυπνίᾳ προσευχῇ, οὐράνια χαρίσματα λαβὼν, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν. Δόξα τῷ σὲ στεφανώσαντι. Δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον. Τοῦ Ὁσίου. Ἐπεφάνης σήμερον.

Ἦχος δ΄.

Ἐν τῷ ὕψει Κύριος τῆς ἐγκρατείας, ἀληθῶς σε ἔθετο, ὥσπερ Ἀστέρα ἀπλανῆ, φωταγωγοῦντα τὰ πέρατα, Καθηγητὰ Ἰωάννη Πατὴρ ἡμῶν.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος α΄.

Δεῦτε ἐργασώμεθα ἐν τῷ μυστικῷ ἀμπελῶνι, καρποὺς μετανοίας, ἐν τούτῳ ποιούμενοι· οὐκ ἐν βρώμασι καὶ πόμασι κοπιῶντες, ἀλλ' ἐν Προσευχαῖς καὶ Νηστείαις, τὰς ἀρετὰς κατορθοῦντες· τούτοις ἀρεσκόμενος, ὁ Κύριος τοῦ ἔργου, δηνάριον παρέχει, δι' οὗ ψυχὰς λυτροῦται χρέους ἁμαρτίας, ὁ μόνος πολυέλεος.



ΤΗ ΠΕΜΠΤΗ ΤΗΣ Ε'. ΕΒΔΟΜΑΔΟΣ.

Ἡ Ἀκολουθία τοῦ Μεγάλου Κανόνος.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Κοντακίον. Ἦχος πλ. β'.

Ψυχή μου, ψυχή μου, ἀνάστα, τί καθεύδεις; τὸ τέλος ἐγγίζει, καὶ μέλλει θορυβεῖσθαι. Ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεός, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν.

Εἰς τὸν Στίχον. Ἰδιόμελον. Ἦχος πλ. δ'.

Ταῖς ληστρικαῖς ἐφόδοις, περιπεσοῦσα ψυχή μου, δεινῶς τετραυμάτισαι, ἐξ οἰκείων πταισμάτων, παραδοθεῖσα ἀνοήτοις ἐχθροῖς· ἀλλ' ὡς ἔχουσα καιρόν, ἐν κατανύξει βόησον. Ἐλπὶς ἀπηλπισμένων, ζωὴ ἀπεγνωσμένων, Σωτὴρ ἀνάστησον, καὶ σῶσόν με.

Μαρτυρικόν.

Τὸν θώρακα τῆς Πίστεως ἐνδυσάμενοι καλῶς, καὶ τῷ τύπῳ τοῦ Σταυροῦ καθοπλίσαντες ἑαυτούς, στρατιῶται εὐσθενεῖς ἀνεδείχθητε· τοῖς Τυράννοις ἀνδρείως ἀντικατέστητε, καὶ διαβόλου τὴν πλάνην κατηδαφίσατε· νικηταὶ γενόμενοι, τῶν στεφάνων ἠξιώθητε· πρεσβεύσατε ἀεὶ ὑπὲρ ἡμῶν, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Δέχου τὰς φωνὰς τῶν οἰκετῶν σου, πάναγνε Παρθένε Θεοτόκε, καὶ πρέσβευε ἀπαύστως, πλημμελημάτων λύσιν, καὶ εἰρήνην δωρηθῆναι ἡμῖν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Ε'. ΕΒΔΟΜΑΔΟΣ.

Ἡ Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ἀκαθίστου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Τὸ ἀπ' αἰῶνος μυστήριον ἀνακαλύπτεται σήμερον, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γίνεται· ἵνα τοῦ

χείρονος μεταλαβὼν, μεταδῷ μοι τοῦ βελτίονος· ἐψεύσθη πάλαι Ἀδὰμ, καὶ Θεὸς ἐπιθυμήσας οὐ γέγονεν· ἄνθρωπος γίνεται Θεὸς, ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται. Εὐφραινέσθω ἡ Κτίσις, χορευέτω ἡ φύσις, ὅτι Ἀρχάγγελος Παρθένῳ μετὰ δέους παρίσταται, καὶ τὸ χαῖρε κομίζει, τῆς λύπης ἀντίθετον· ὁ διὰ σπλάγχνα ἐλέους ἐνανθρωπήσας, Θεὸς ἡμῶν δόξα σοι.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Τὸ προσταχθὲν μυστικῶς, λαβὼν ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ, σπουδῇ ἐπέστη, ὁ Ἀσώματος λέγων τῇ Ἀπειρογάμῳ· Ὁ κλίνας τῇ καταβάσει τοὺς Οὐρανοὺς, χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοί· ὃν καὶ βλέπων ἐν μήτρᾳ σου, λαβόντα δούλου μορφὴν, ἐξίσταμαι κραυγάζειν σοι· Χαῖρε Νύμφη ἀνύμφευτε.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ, τὰ νικητήρια. Ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια. Ἀναγράφω σοι ἡ πόλις σου Θεοτόκε. Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον. Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον. Ἵνα κράζω σοι· Χαῖρε Νύμφη ἀνύμφευτε.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἰδιόμελον.

Ἦχος δ'.

Γλῶσσαν ἣν οὐκ ἔγνω, ἤκουσεν ὁ Θεοτόκος· ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος τοῦ Εὐαγγελισμοῦ τὰ ῥήματα· ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν. Διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι· Ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεὸς, εἰρήνην τῷ Κόσμῳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.



ΤΗ ΚΥΡΙΑΚΗ ΠΕΜΠΤΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τῆς Ὁσίας Μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, Ἦχος δ'.

Ἐθαυματούργησε Χριστὲ τοῦ Σταυροῦ σου ἡ δύναμις, ὅτι καὶ ἡ πρώην Πόρνη ἀσκητικὸν ἀγῶνα ἠγωνίσατο· ὅθεν καὶ τὸ ἀσθενὲς ἀποῤῥιψαμένη, γενναίως ἀντέστη κατὰ τȣ̃ διαβόλου· διὸ καὶ τὸ βραβεῖον τῆς νίκης κομισαμένη, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος β'.

Τὰ τῆς ψυχῆς θηρεύματα, καὶ τὰ πάθη τῆς σαρκὸς, τῷ ξίφει τῆς ἐγκρατείας ἔτεμες· τὰ τῆς ἐννοίας ἐγκλήματα, τῇ σιγῇ τῆς ἀσκήσεως ἀπέπνιξας· καὶ ῥείθροις τῶν δακρύων σου, τὴν ἔρημον ἅπασαν κατήρδευσας, καὶ ἐβλάστησας ἡμῖν τῆς μετανοίας καρπούς. Διό σου τὴν μνήμην Ὁσία ἑορτάζομεν.

Ἀπολυτίκιον, τὸ Ἀναστάσιμον. Καὶ τῆς Ὁσίας.

Ἦχος πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν Σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾷν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὁσία Μαρία τὸ πνεῦμά σου.

Κοντάκιον. Ἡ Παρθένος σήμερον. Ἦχος γ'.

Ἡ πορνείαις πρότερον μεμεστωμένη παντοίαις, Χριστȣ̃ Νύμφη σήμερον τῇ μετανοίᾳ ἐδείχθη, Ἀγγέλων τὴν πολιτείαν ἐκμιμȣμένη, δαίμονας Σταυρῷ τῷ ὅπλῳ ἐξαφανίζει· διὰ τοῦτο Βασιλείας, ἐφάνης Νύμφη Μαρία ἔνδοξε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος α'.

Οὐκ ἔστιν ἡ Βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη, καὶ ἄσκησις, σὺν ἁγιασμῷ· ὅθεν ȣ̓δὲ

πλούσιοι εἰσελεύσονται ἐν αὐτῇ, ἀλλ' ὅσοι τοὺς θησαυροὺς αὐτῶν ἐν χερσὶ πενήτων ἀποτίθενται. Ταῦτα καὶ Δαυῒδ ὁ Προφήτης διδάσκει λέγων· Δίκαιος ἀνὴρ, ὁ ἐλεῶν ὅλην τὴν ἡμέραν, ὁ κατατρυφῶν τῷ Κυρίῳ, καὶ τῷ φωτὶ περιπατῶν, ὃς οὐ μὴ προσκόψῃ. Ταῦτα δὲ πάντα πρὸς νουθεσίαν ἡμῶν γέγραπται, ὅπως νηστεύοντες χρηστότητα ποιήσωμεν· καὶ δῴη ἡμῖν Κύριος, ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΟΥ ΑΓΙΟΥ ΛΑΖΑΡΟΥ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ'.

Ἐπιστὰς τῷ μνήματι Λαζάρου ὁ Σωτὴρ ἡμῶν, καὶ φωνήσας τὸν νεκρὸν, ὡς ἐξ ὕπνου ἐξανέστησας· ἀπεσείσατο τὴν φθορὰν τῆς ἀφθαρσίας τῷ Πνεύματι, καὶ συνεξῆλθε τῷ λόγῳ, δεδεμένος κειρίαις. Πάντα δύνασαι, πάντα σοι δουλεύει φιλάνθρωπε, πάντα σοι ὑποτέτακται, Σωτὴρ ἡμῶν δόξα σοι.

Καὶ νῦν. Ἕτερον Ἰδιόμελον. Ἦχος ὁ αὐτός.

Τὴν ψυχωφελῆ πληρώσαντες Τεσσαρακοστὴν, βοήσωμεν· Χαίροις πόλις Βηθανία, πατρὶς ἡ τοῦ Λαζάρου· χαίρετε Μάρθα καὶ Μαρία, αἱ τούτου Ἀδελφαί· αὔριον Χριστὸς παραγίνεται, ζωῶσαι ῥήματι, τὸν τεθνεῶτα ἀδελφόν· οὗ φωνῆς ἀκούσας, ὁ πικρὸς καὶ ἀκόρεστος Ἅδης, φόβῳ τρομάξας καὶ μέγα στενάξας, ἀπολύσει Λάζαρον, κειρίαις ἐσφιγμένον· οὗ τῷ θαύματι, δῆμος Ἑβραίων ἐκπλαγεὶς, μετὰ Βαΐων καὶ κλάδων αὐτῷ προσυπαντήσουσι· καὶ φθονήσονται εὐφημοῦντες Παῖδες, ὃν φθονοῦσι Πατέρες· Εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου Βασιλεὺς τοῦ Ἰσραήλ.

Ἀπολυτίκιον. Ἦχος ά.

Τὴν κοινὴν Ἀνάστασιν, πρὸ τοῦ σοῦ Πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον Χριστὲ ὁ

Θεός· ὅθεν καὶ ἡμεῖς ὡς οἱ Παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ νικητῇ τοῦ θανάτου βοῶμεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Η πάντων χαρά, Χριστὸς ἡ ἀλήθεια, τὸ φῶς ἡ ζωή, τοῦ Κόσμου ἡ Ἀνάστασις, τοῖς ἐν γῇ πεφανέρωται, τῇ αὐτοῦ ἀγαθότητι, καὶ γέγονε τύπος τῆς Ἀναστάσεως, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος β'.

Μέγα καὶ παράδοξον θαῦμα, τετέλεσται σήμερον, ὅτι νεκρὸν τεταρταῖον, ἐκ τάφου Χριστὸς φωνήσας ἤγειρε, καὶ φίλον ἐκάλεσε· δοξολογήσωμεν αὐτὸν, ὡς ὑπερένδοξον· ὃς ταῖς πρεσβείαις τοῦ δικαίου Λαζάρου, σώσῃ τὰς ψυχὰς ἡμῶν.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΪΩΝ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, ἡμᾶς συνήγαγε· καὶ πάντες αἴροντες, τὸν Σταυρόν σου λέγομεν· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν.

Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, ἡμᾶς συνήγαγε· καὶ πάντες αἴροντες, τὸν Σταυρόν σου λέγομεν· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ἀπολυτίκιον. Ἦχος α'.

Τὴν κοινὴν Ἀνάστασιν, πρὸ τοῦ σοῦ Πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον Χριστὲ ὁ Θεός· ὅθεν καὶ ἡμεῖς ὡς οἱ Παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ νικητῇ τοῦ θανάτου βοῶμεν· Ὡ-

σαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Ἕτερον Ἀπολυτίκιον. Ἦχος δ'.

Συνταφέντες σοι διὰ τοῦ Βαπτίσματος Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν, τῇ Ἀναστάσει σου, καὶ ἀνυμνοῦντες κράζομεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Κοντάκιον Ἰδιόμελον. Ἦχος πλ. β'.

Τῷ Θρόνῳ ἐν Οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς, ἐποχούμενος Χριστὲ ὁ Θεός· τῶν Ἀγγέλων τὴν αἴνεσιν, καὶ τῶν Παίδων ἀνύμνησιν προσεδέξω βοώντων σοι· Εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν, καὶ προσῆλθον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ λέγοντες αὐτῷ· Κύριε, ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα; ὁ δὲ ἀπέστειλεν αὐτούς· ἀπέλθετε εἰς τὴν ἀπέναντι Κώμην, καὶ εὑρήσετε ἄνθρωπον, κεράμιον ὕδατος βαστάζοντα, ἀκολουθήσατε αὐτῷ, καὶ τῷ οἰκοδεσπότῃ εἴπατε· Ὁ Διδάσκαλος λέγει, πρὸς σὲ ποιῶ τὸ Πάσχα μετὰ τῶν Μαθητῶν μου.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΓΩΝ.

ΕΣΠΕΡΑΣ.

Δόξα. Ἰδιόμελον. Ἦχος πλ. δ'.

Χαῖρε καὶ εὐφραίνου πόλις Σιών, τέρπου καὶ ἀγάλλου, ἡ Ἐκκλησία τοῦ Θεοῦ· ἰδοὺ γὰρ ὁ Βασιλεύς σου παραγέγονεν ἐν δικαιοσύνῃ, ἐπὶ πώλου καθεζόμενος, ὑπὸ Παίδων ἀνυμνούμενος· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος εἶ, ὁ ἔχων πλῆθος οἰκτιρμῶν, ἐλέησον ἡμᾶς.

Ὁ αὐτός.

Ἦλθεν ὁ Σωτὴρ σήμερον, ἐπὶ τὴν πάλιν Ἱερουσαλήμ, πληρῶσαι τὴν γραφήν· καὶ πάντες ἔλαβον ἐν ταῖς

χερσὶ Βαΐα· τοὺς δὲ χιτῶνας ὑπεστρώννυον αὐτῷ, γινώσκοντες ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν· ᾧ τὰ Χερουβὶμ βοᾷ ἀπαύστως· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος εἶ, ὁ ἔχων πλῆθος οἰκτιρμῶν, ἐλέησον ἡμᾶς.

Ὁ αὐτός.

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ, ἐπέβης ἐπὶ πώλου Δαβιτικῶς Ἀγαθέ, καὶ Παῖδές σε ἀνύμνουν θεοπρεπῶς· Ἰουδαῖοι ἐβλασφήμουν παρανόμως. Τὸ ἀκάθεκτον τῶν ἐθνῶν, ἡ καθέδρα τοῦ πώλου προετύπου, ἐξ ἀπιστίας εἰς Πίστιν μεταποιούμενον. Δόξα σοι Χριστὲ, ὁ μόνος ἐλεήμων καὶ φιλάνθρωπος.

Δόξα, τὸ πρῶτον. Ἦχος πλ. δ'.

Χαῖρε καὶ εὐφραίνου πόλις Σιὼν, τέρπου καὶ ἀγάλλου, ἡ Ἐκκλησία τοῦ Θεοῦ· ἰδοὺ γὰρ ὁ Βασιλεύς σου παραγέγονεν ἐν δικαιοσύνῃ, ἐπὶ πώλου καθεζόμενος, ὑπὸ Παίδων ἀνυμνούμενος· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος εἶ, ὁ ἔχων πλῆθος οἰκτιρμῶν, ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Ὁ αὐτός.

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ, ἐπέβης ἐπὶ πώλου Δαβιτικῶς Ἀγαθὲ, καὶ Παῖδές σε ἀνύμνουν θεοπρεπῶς· Ἰουδαῖοι ἐβλασφήμουν παρανόμως. Τὸ ἀκάθεκτον τῶν ἐθνῶν, ἡ καθέδρα τοῦ πώλου προετύπου, ἐξ ἀπιστίας εἰς Πίστιν μεταποιούμενον. Δόξα σοι Χριστὲ, ὁ μόνος ἐλεήμων καὶ φιλάνθρωπος.

Εἰς τὸν Στίχον. Ἰδιόμελα. Ἦχος β'.

Ἐκ Βαΐων καὶ κλάδων, ὡς ἐκ θείας Ἑορτῆς, εἰς θείαν μεταβάντες Ἑορτὴν, πρὸς σεβασμίαν τῶν Χριστοῦ Παθημάτων, πιστοὶ συνδράμωμεν, τελετὴν σωτήριον, καὶ τοῦτον ὑπὲρ ἡμῶν, Πάθος ὑφιστάμενον, κατοπτεύσωμεν ἑκούσιον· αὐτῷ δὲ τὸν ὕμνον, εὐχαριστοῦντες ἀναμέλψωμεν, ἁρμόδιον ἀνακράζοντες· Ἡ τῆς εὐσπλαγχνίας πηγὴ, καὶ τῆς σωτηρίας λιμὴν, Κύριε δόξα σοι.

Στίχος. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ἦχος γ'.

Φοβερὸν τὸ ἐμπεσεῖν, εἰς χεῖρας Θεοῦ ζῶντος· οὗτος κριτής ἐστιν, ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· μηδεὶς εἰσέλθῃ πειράζων, τὴν Πίστιν τὴν ἀμώμητον· ἀλλ' ἐν πρᾳότητι καὶ φόβῳ, Χριστῷ προσέλθωμεν, ἵνα λάβωμεν ἔλεος, καὶ χάριν εὕρωμεν, εἰς εὔκαιρον βοήθειαν.

Στίχος. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς. Ἦχος βαρύς.

Συναγωγὴ πονηρὰ καὶ μοιχαλὶς, ἡ τῷ ἰδίῳ ἀνδρὶ, μὴ φυλάξασα πίστιν, τί κατέχεις διαθήκην, ἧς οὐκ ἧς κληρονόμος; τί καυχᾶσαι ἐν Πατρὶ, τὸν Υἱὸν ἀθετήσασα; τοὺς Προφήτας οὐκ ἐδέξω, τὸν Υἱὸν καταγγείλαντας· κἂν τὰ ἴδια τέκνα αἰσχύνθητι, οὕτω βοῶντα· Ὡσαννὰ τῷ Υἱῷ Δαυῒδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Δοξα. Ἦχος β'.

Ἐκ Βαΐων καὶ κλάδων, ὡς ἐκ θείας Ἑορτῆς, εἰς θείαν μεταβάντες Ἑορτὴν, πρὸς σεβασμίαν τῶν Χριστοῦ παθημάτων, πιστοὶ συνδράμωμεν, τελετὴν σωτήριον, καὶ τοῦτο ὑπὲρ ἡμῶν, Πάθος ὑφιστάμενον, κατοπτεύσωμεν ἑκούσιον· αὐτῷ δὲ τὸν ὕμνον, εὐχαριστοῦντες ἀναμέλψωμεν, ἁρμόδιον ἀνακράζοντες· Ἡ τῆς εὐσπλαγχνίας πηγὴ, καὶ τῆς σωτηρίας λιμὴν, Κύριε δόξα σοι.

Καὶ νῦν. Ἦχος γ'.

Φοβερὸν τὸ ἐμπεσεῖν, εἰς χεῖρας Θεοῦ ζῶντος· οὗτος κριτής ἐστιν, ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· μηδεὶς εἰσέλθῃ πειράζων. τὴν Πίστιν τὴν ἀμώμητον· ἀλλ' ἐν πρᾳότητι καὶ φόβῳ, Χριστῷ προσέλθωμεν, ἵνα λάβωμεν ἔλεος, καὶ χάριν εὕρωμεν, εἰς εὔκαιρον βοήθειαν.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ Β'.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Τροπάριον. Ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτὸς, καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα, ἀνάξιος

δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς Βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου, ἐλέησον ἡμᾶς.

Κοντάκιον. Ἦχος πλ. δ'.

Ὁ Ἰακὼβ ὠδύρετο, τοῦ Ἰωσὴφ τὴν στέρησιν, καὶ ὁ γενναῖος ἐκάθητο ἅρματι, ὡς Βασιλεὺς τιμώμενος· τῆς Αἰγυπτίας γὰρ τότε ταῖς ἡδοναῖς μὴ δουλεύσας, ἀντεδοξάζετο παρὰ τοῦ βλέποντος, τὰς τῶν ἀνθρώπων καρδίας, καὶ πέμποντος στέφος ἄφθαρτον.

Εἰς τοὺς Αἴνους. Ἰδιόμελα. Ἦχος ά.

Ἐρχόμενος ὁ Κύριος πρὸς τὸ ἑκούσιον Πάθος, τοῖς Ἀποστόλοις ἔλεγεν ἐν τῇ ὁδῷ· ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ παραδοθήσεται ὁ Υἱὸς τοῦ ἀνθρώπου, καθὼς γέγραπται περὶ αὐτοῦ. Δεῦτε οὖν καὶ ἡμεῖς, κεκαθαρμέναις διανοίαις, συμπορευθῶμεν αὐτῷ, καὶ συσταυρωθῶμεν, καὶ νεκρωθῶμεν δι' αὐτόν, ταῖς τοῦ βίου ἡδοναῖς· ἵνα καὶ συζήσωμεν αὐτῷ, καὶ ἀκούσωμεν βοῶντος αὐτοῦ· Οὐκ ἔτι εἰς τὴν ἐπίγειον Ἱερουσαλήμ, διὰ τὸ παθεῖν, ἀλλὰ ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν, καὶ συνανυψῶ ὑμᾶς εἰς τὴν ἄνω Ἱερουσαλήμ· ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν.

Ἦχος πλ. ά.

Φθάσαντες πιστοί, τὸ Σωτήριον Πάθος Χριστοῦ τοῦ Θεοῦ, τὴν ἄφατον αὐτοῦ μακροθυμίαν δοξάσωμεν, ὅπως τῇ αὐτοῦ εὐσπλαγχνίᾳ, συνεγείρῃ καὶ ἡμᾶς νεκρωθέντας τῇ ἁμαρτίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Ὁ αὐτός.

Κύριε, ἐρχόμενος πρὸς τὸ Πάθος, τοὺς ἰδίους στηρίζων μαθητὰς ἔλεγες, κατ' ἰδίαν παραλαβὼν αὐτούς· Πῶς τῶν ῥημάτων μου ἀμνημονεῖτε, ὧν πάλαι εἶπον ὑμῖν, ὅτι Προφήτην πάντα οὐ γέγραπται, εἰ μὴ ἐν Ἱερουσαλὴμ ἀποκτανθῆναι; νῦν οὖν καιρὸς ἐφέστηκεν, ὃν εἶπον

ὑμῖν· ἰδοὺ γὰρ παραδίδομαι, ἁμαρτωλῶν χερσὶν ἐμπαιχθῆναι, οἳ καὶ Σταυρῷ με προσπήξαντες, ταφῇ παραδόντες, ἐβδελυγμένον λογιοῦνται ὡς νεκρόν· ὅμως θαρσεῖτε· τριήμερος γὰρ ἐγείρομαι, εἰς ἀγαλλίασιν πιστῶν, καὶ ζωὴν τὴν αἰώνιον.

Εἰς τὸν Στίχον. Ἰδιόμελα. Ἦχος πλ. ά.

Κύριε, πρὸς τὸ Μυστήριον τὸ ἀπόῤῥητον τῆς σῆς Οἰκονομίας, οὐκ ἐξαρκοῦσα ἡ τῶν ἐκ Ζεβεδαίου Μήτηρ, ᾐτεῖτό σοι προσκαίρου Βασιλείας τιμὴν, τοῖς ἑαυτῆς δωρήσασθαι τέκνοις· ἀλλ᾽ ἀντὶ ταύτης ποτήριον θανάτου ἐπηγγείλω πιεῖν τοῖς φίλοις σου, ὃ ποτήριον πρὸ τούτων πιεῖν ὁ αὐτὸς ἔλεγες, ἁμαρτημάτων καθαρτήριον. Διό σοι βοῶμεν· Ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν, δόξα σοι.

Ὁ αὐτός.

Κύριε, τὰ τελεώτατα φρονεῖν, τοὺς οἰκείους παιδεύων Μαθητὰς, μὴ ὁμοιοῦσθαι τοῖς ἔθνεσιν ἔλεγες, εἰς τὸ κατάρχειν τῶν ἐλαχιστοτέρων· οὐχ οὕτω γὰρ ἔσται ὑμῖν, τοῖς ἐμοῖς Μαθηταῖς, ὅτι πτωχὸς, θέλων ὑπάρχω· ὁ πρῶτος οὖν ὑμῶν, ἔστω πάντων διάκονος· ὁ δὲ ἄρχων, ὡς ὁ ἀρχόμενος· ὁ προκριθεὶς δὲ, ὡς ὁ ἔσχατος· καὶ γὰρ ἐλήλυθα αὐτὸς, τῷ πτωχεύσαντι Ἀδὰμ διακονῆσαι, καὶ λύτρον δοῦναι ἀντὶ πολλῶν, τὴν ψυχὴν τῶν βοώντων μοι· Δόξα σοι.

Ἦχος πλ. δ'.

Τῆς ξηρανθείσης Συκῆς διὰ τὴν ἀκαρπίαν, τὸ ἐπιτίμιον φοβηθέντες Ἀδελφοὶ, καρποὺς ἀξίους τῆς μετανοίας προσάξωμεν Χριστῷ, τῷ παρέχοντι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Δευτέραν Εὔαν τὴν Αἰγυπτίαν, εὑρὼν ὁ δράκων, διὰ ῥημάτων, ἔσπευδε κολακείαις ὑποσκελίσαι τὸν Ἰωσήφ· ἀλλ᾽ αὐτὸς καταλιπὼν τὸν χιτῶνα, ἔφυγε τὴν ἁμαρτίαν, καὶ γυμνὸς ȣ̓κ ᾐσχύνετο, ὡς ὁ Πρωτόπλαστος πρὸ τῆς παρακοῆς. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ, ἐλέησον ἡμᾶς.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ Β΄.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Ψάλλομεν τὰ Ἰδιόμελα, ἅπερ εἴπομεν τὸ πρωΐ, δευτεροῦντες τὰ Τέσσαρα, τὰ δὲ δύο πρὸς μίαν.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ΄.

Δευτέραν Εὔαν τὴν Αἰγυπτίαν, εὑρὼν ὁ δράκων, διὰ ῥημάτων, ἔσπευδε κολακείαις ὑποσκελίσαι τὸν Ἰωσήφ· ἀλλ' αὐτὸς καταλιπὼν τὸν χιτῶνα, ἔφυγε τὴν ἁμαρτίαν, καὶ γυμνὸς οὐκ ᾐσχύνετο, ὡς ὁ Πρωτόπλαστος πρὸ τῆς παρακοῆς. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ, ἐλέησον ἡμᾶς.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ Γ΄.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Τροπάριον. Ἦχος πλ. δ΄.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτὸς, καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα, ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς Βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς, διὰ τῆς Θεοτόκου, ἐλέησον ἡμᾶς.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὴν ὥραν ψυχὴ τοῦ τέλους ἐννοήσασα, καὶ τὴν ἐκκοπὴν, τῆς Συκῆς δειλιάσασα, τὸ δοθέν σοι τάλαντον, φιλοπόνως ἔργασαι ταλαίπωρε, γρηγοροῦσα καὶ κράζουσα· μὴ μείνωμεν ἔξω τοῦ Νυμφῶνος Χριστοῦ.

Εἰς τοὺς Αἴνους. Ἰδιόμελα. Ἦχος α΄.

Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γά-

μου, καὶ δέσμιος ἐκβάλλομαι ὑπὸ τῶν Ἀγγέλων. Καθάρισον Κύριε τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Ἦχος β'.

Ὁ τῇ ψυχῆς ῥαθυμίᾳ νυστάξας, οὐ κέκτημαι Νυμφίε Χριστὲ, καιομένην λαμπάδα τὴν ἐξ ἀρετῶν, καὶ νεάνισιν ὡμοιώθην μωραῖς, ἐν καιρῷ τῆς ἐργασίας ῥεμβόμενος· τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου, μὴ κλείσῃς μοι Δέσποτα· ἀλλ' ἐκτινάξας μου τὸν ζοφερὸν ὕπνον ἐξανάστησον, καὶ ταῖς φρονίμοις συνεισάγαγε Παρθένοις, εἰς νυμφῶνα τὸν σὸν, ὅπου ἦχος καθαρὸς ἑορταζόντων, καὶ βοώντων ἀπαύστως· Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Ἦχος δ'.

Τοῦ κρύψαντος τὸ τάλαντον, τὴν κατάκρισιν ἀκούσασα ψυχὴ, μὴ κρύπτε λόγον Θεοῦ, κατάγγελλε τὰ θαυμάσια αὐτοῦ· ἵνα πλεονάζουσα τὸ χάρισμα, εἰσέλθῃς εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Εἰς τὸν Στίχον. Ἰδιόμελα. Ἦχος πλ. β'.

Δεῦτε πιστοὶ, ἐπεργασώμεθα προθύμως τῷ Δεσπότῃ· νέμει γὰρ δούλοις τὸν πλοῦτον, καὶ ἀναλόγως ἕκαστος, πολυπλασιάσωμεν τὸ τῆς χάριτος τάλαντον· ὁ μὲν σοφίαν κομιείτω, δι' ἔργων ἀγαθῶν· ὁ δὲ λειτουργίαν λαμπρότητος ἐπιτελείσθω· κοινωνείτω δὲ τῷ λόγῳ, πιστὸς τῷ ἀμυήτῳ· καὶ σκορπιζέτω τὸν πλοῦτον πένησιν ἄλλος· οὕτω γὰρ τὸ δάνειον πολυπλασιάσωμεν, καὶ ὡς Οἰκονόμοι πιστοὶ τῆς χάριτος, δεσποτικῆς χαρᾶς ἀξιωθῶμεν. Αὐτῆς ἡμᾶς καταξίωσον, Χριστὲ ὁ Θεὸς ὡς φιλάνθρωπος.

Ἦχος ὁ αὐτός.

Ὅταν ἔλθῃς ἐν δόξῃ, μετ' Ἀγγελικῶν Δυνάμεων, καὶ καθίσῃς ἐν Θρόνῳ, Ἰησοῦ διὰ κρίσεως, μή με ποιμὴν ἀγαθὲ διαχωρίσῃς· ὁδοὺς δεξιᾶς γὰρ οἶδας, διεστραμμέναι δέ εἰσιν αἱ εὐώνυμοι. Μὴ οὖν ἐρίφοις με τὸν τραχὺν τῇ ἁμαρτίᾳ συναπολέσῃς, ἀλλὰ τοῖς ἐκ δεξιῶν, συναριθμήσας προβάτοις, σῶσόν με ὡς φιλάνθρωπος.

Ἦχος ὁ αὐτός.

Ὁ νυμφίος ὁ κάλλει ὡραῖος παρὰ πάντας ἀνθρώπους, ὁ συγκαλέσας ἡμᾶς πρὸς ἑστίασιν πνευματικὴν τοῦ νυμφῶνός σου, τὴν δυσείμονά μου μορφὴν, τῶν πταισμάτων ἀπαμφίασον, τῇ μεθέξει τῶν Παθημάτων σου, καὶ στολὴν δόξης κοσμήσας, τῆς σῆς ὡραιότητος, δαιτυμόνα φαιδρὸν ἀνάδειξον, τῆς Βασιλείας σου ὡς εὔσπλαγχνος.

Δόξα, καὶ νῦν. Ἦχος βαρύς.

Ἰδού σοι τὸ τάλαντον, ὁ Δεσπότης ἐμπιστεύει ψυχή μου, φόβῳ δέξαι τὸ χάρισμα· δάνεισαι τῷ δεδωκότι, διάδος πτωχοῖς, καὶ κτῆσαι φίλον τὸν Κύριον· ἵνα στῇς ἐκ δεξιῶν αὐτοῦ, ὅταν ἔλθῃ ἐν δόξῃ, καὶ ἀκούσῃς μακαρίας φωνῆς· εἴσελθε δοῦλε, εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Αὐτῆς ἀξίωσόν με, Σωτὴρ τὸν πλανηθέντα, διὰ τὸ μέγα σου ἔλεος.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ Γ'.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Ψάλλομεν τὰ Ἰδιόμελα, ἅπερ εἴπομεν τὸ πρωῒ, εἰς ί.

Δόξα, καὶ νῦν. Ἦχος βαρύς.

Ἰδού σοι τὸ τάλαντον, ὁ Δεσπότης ἐμπιστεύει ψυχή μου, φόβῳ δέξαι τὸ χάρισμα· δάνεισαι τῷ δεδωκότι, διάδος πτωχοῖς, καὶ κτῆσαι φίλον τὸν Κύριον· ἵνα στῇς ἐκ δεξιῶν αὐτοῦ, ὅταν ἔλθῃ ἐν δόξῃ, καὶ ἀκούσῃς μακαρίας φωνῆς· εἴσελθε δοῦλε, εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· αὐτῆς ἀξίωσόν με, Σωτὴρ τὸν πλανηθέντα, διὰ τὸ μέγα σου ἔλεος.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ Δ'.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτὸς, καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα, ἀνάξιος

δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς Βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου, ἐλέησον ἡμᾶς.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Ὑπὲρ τὴν Πόρνην Ἀγαθὲ ἀνομήσας, δακρύων ὄμβρους οὐδαμῶς σοι προσῆξα· ἀλλὰ σιγῇ δεόμενος προσπίπτω σοι, πόθῳ ἀσπαζόμενος, τοὺς ἀχράντους σου πόδας· ὅπως μοι συγχώρησιν, ὡς Δεσπότης παρέξῃς, τῶν ὀφλημάτων κράζοντι Σωτήρ· ἐκ τοῦ βορβόρου τῶν ἔργων μου ῥῦσαί με.

Εἰς τοὺς Αἴνους. Ἰδιόμελα. Ἦχος ά.

Σὲ τὸν τῆς Παρθένου Υἱόν, Πόρνη ἐπιγνοῦσα Θεὸν ἔλεγεν, ἐν κλαυθμῷ δυσωποῦσα, ὡς δακρύων ἄξια πράξασα· Διάλυσον τὸ χρέος, ὡς κἀγὼ τοὺς πλοκάμους· ἀγάπησον φιλοῦσαν, τὴν δικαίως μισουμένην, καὶ πλησίον τελωνῶν σε κηρύξω, εὐεργέτα φιλάνθρωπε.

Ἦχος ὁ αὐτός.

Τὸ πολυτίμητον μύρον, ἡ Πόρνη ἔμιξε μετὰ δακρύων, καὶ ἐξέχεεν εἰς τοὺς ἀχράντους πόδας σου, καταφιλοῦσα· ἐκείνην εὐθὺς ἐδικαίωσας, ἡμῖν δὲ συγχώρησιν δώρησαι, ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Ἦχος ὁ αὐτός.

Ὅτε ἡ ἁμαρτωλὸς προσέφερε τὸ μύρον, τότε ὁ μαθητὴς συνεφώνει τοῖς παρανόμοις· ἡ μὲν ἔχαιρε, κενοῦσα τὸ πολύτιμον· ὁ δὲ ἔσπευδε, πωλῆσαι τὸν ἀτίμητον· αὕτη, τὸν Δεσπότην ἐπεγίνωσκεν· οὗτος, τοῦ Δεσπότου ἐχωρίζετο· αὕτη ἠλευθεροῦτο, καὶ ὁ Ἰούδας δοῦλος ἐγεγόνει τοῦ ἐχθροῦ. Δεινὸν ἡ ῥαθυμία, μεγάλη ἡ μετάνοια· ἥν μοι δώρησαι Σωτήρ, ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Ἦχος ὁ αὐτός.

Ὢ τῆς Ἰούδα ἀθλιότητος· ἐθεώρει τὴν Πόρνην φιλοῦσαν τὰ ἴχνη, καὶ ἐσκέπτετο δόλῳ, τῆς προδοσίας

τὸ φίλημα· ἐκείνη τὰς πλοκάμους διέλυσε, καὶ οὗτος τῷ θυμῷ ἐδεσμεῖτο, φέρων ἀντὶ μύρου, τὴν δυσώδη κακίαν· φθόνος γὰρ ὀυκ οἶδε, προτιμᾷν τὸ συμφέρον. Ὦ τῆς Ἰούδα ἀθλιότητος· ἀφ' ἧς ῥῦσαι ὁ Θεὸς τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος β΄.

Ἡ ἁμαρτωλὸς ἔδραμε πρὸς τὸ μῦρον, πριάσασθαι πολύτιμον μῦρον, τοῦ μυρίσαι τὸν Εὐεργέτην, καὶ τῷ μυρεψῷ ἐβόα· Δός μοι τὸ μῦρον, ἵνα ἀλείψω κἀγὼ, τὸν ἐξαλείψαντά μου πάσας τὰς ἁμαρτίας.

Καὶ νῦν. Ἦχος πλ. β΄.

Ἡ βεβυθισμένη τῇ ἁμαρτίᾳ, εὑρέ σε λιμένα τῆς σωτηρίας· ἴδε, καὶ μῦρα σὺν δάκρυσι κενοῦσά σοι ἐβόα· Ἴδε ὁ τῶν ἁμαρτανόντων τὴν μετάνοιαν μένων· ἀλλὰ Δέσποτα διάσωσόν με, ἐκ τοῦ κλύδωνος τῆς ἁμαρτίας, διὰ τὸ μέγα σου ἔλεος.

Εἰς τὸν Στίχον. Ἰδιόμελα. Ἦχος πλ. β΄.

Σήμερον ὁ Χριστὸς παραγίνεται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, καὶ Γυνὴ ἁμαρτωλὸς προσελθοῦσα, τοῖς ποσὶν ἐκυλινδοῦτο βοῶσα· Ἴδε την βεβυθισμένην τῇ ἁμαρτίᾳ, τὴν ἀπηλπισμένην διὰ τὰς πράξεις, τὴν μὴ βδελυχθεῖσαν παρὰ τῆς σῆς ἀγαθότητος· καὶ δός μοι Κύριε, τὴν ἄφεσιν τῶν κακῶν, καὶ σῶσόν με.

Ἦχος ὁ αὐτός.

Ἥπλωσεν ἡ Πόρνη τὰς τρίχας σοι τῷ Δεσπότῃ, ἥπλωσεν Ἰούδας τὰς χεῖρας τοῖς παρανόμοις· ἡ μὲν, λαβεῖν τὴν ἄφεσιν, ὁ δὲ, λαβεῖν ἀργύρια. Διό σοι βοῶμεν τῷ πραθέντι, καὶ ἐλευθερώσαντι ἡμᾶς, Κύριε δόξα σοι.

Ἦχος ὁ αὐτός.

Προσῆλθε Γυνὴ δυσώδης καὶ βεβορβορωμένη, δάκρυα προχέουσα ποσί σου Σωτὴρ, τὸ Πάθος καταγγέλλουσα· πῶς ἀτενίσω σοι τῷ Δεσπότῃ; αὐτὸς γὰρ ἐλήλυθας σῶσαι Πόρνην· ἐκ βυθοῦ θανοῦσάν με ἀνάστησον, ὁ τὸν Λάζαρον ἐγείρας ἐκ τάφου τετραήμερον· δέξαι με τὴν τάλαιναν, Κύριε, καὶ σῶσόν με.

Ἦχος ὁ αὐτός.

Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον, καὶ ἐπεγνωσμένη διὰ τὸν τρόπον, τὰ μῦρα βαστάζουσα, προσῆλθέ σοι βοῶσα· Μή με τὴν Πόρνην ἀποῤῥίψῃς, ὁ τεχθεὶς ἐκ Παρθένου· μή μου τὰ δάκρυα παρίδῃς, ἡ χαρὰ τῶν Ἀγγέλων· ἀλλὰ δέξαι με μετανοοῦσαν, ἣν οὐκ ἀπώσω ἁμαρτάνουσαν Κύριε, διὰ τὸ μέγα σου ἔλεος.

Δόξα, καὶ νῦν. Ἰδιόμελον. Ἦχος πλ. δ΄.

Ποίημα Κασσιανῆς Μοναχῆς.

Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα Γυνή, τὴν σὴν αἰσθομένη Θεότητα, Μυροφόρου ἀναλαβοῦσα τάξιν, ὀδυρομένη μῦρά σοι, πρὸ τοῦ ἐνταφιασμοῦ κομίζει, οἴμοι λέγουσα, ὅτι νύξ μοι ὑπάρχει, οἶστρος ἀκολασίας, ζοφώδης τε καὶ ἀσέληνος, ἔρως τῆς ἁμαρτίας· δέξαι μου τὰς πηγὰς τῶν δακρύων, ὁ νεφέλαις διεξάγων τῆς θαλάσσης τὸ ὕδωρ· κάμφθητί μοι πρὸς τοὺς στεναγμοὺς τῆς καρδίας· ὁ κλίνας τοὺς Οὐρανούς, τῇ ἀφάτῳ σου κενώσει· καταφιλήσω τοὺς ἀχράντους σου πόδας, ἀποσμήξω τούτους δὲ πάλιν, τοῖς τῆς κεφαλῆς μου βοστρύχοις· ὧν ἐν τῷ Παραδείσῳ Εὔα τὸ δειλινόν, κρότον τοῖς ὠσὶν ἠχηθεῖσα, τῷ φόβῳ ἐκρύβη· ἁμαρτιῶν μου τὰ πλήθη, καὶ κριμάτων σου ἀβύσσους, τίς ἐξιχνιάσει ψυχοσῶστα Σωτήρ μου; μή με τὴν σὴν δούλην παρίδῃς, ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ Δ΄.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Ἱστῶμεν Στίχους ί. καὶ ψάλλομεν τὰ Ἰδιόμελα, ἅπερ εἴπομεν τὸ πρωΐ.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ΄.

Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα Γυνή, τὴν σὴν αἰσθομένη Θεότητα, Μυροφόρου ἀναλαβοῦσα τάξιν, ὀδυρομένη μῦρά σοι, πρὸ τοῦ ἐνταφιασμοῦ κο-

μίζει, οἴμοι λέγουσα, ὅτι νύξ μοι ὑπάρχει, οἶστρος ἀκολασίας, ζοφώδης τε καὶ ἀσέληνος, ἔρως τῆς ἁμαρτίας· δέξαι μου τὰς πηγὰς τῶν δακρύων, ὁ νεφέλαις διεξάγων τῆς θαλάσσης τὸ ὕδωρ· κάμφθητί μοι πρὸς τοὺς στεναγμοὺς τῆς καρδίας, ὁ κλίνας τοὺς Οὐρανούς, τῇ ἀφάτῳ σου κενώσει· καταφιλήσω τοὺς ἀχράντους σου πόδας, ἀποσμήξω τούτους δὲ πάλιν, τοῖς τῆς κεφαλῆς μου βοστρύχοις· ὧν ἐν τῷ Παραδείσῳ Εὔα τὸ δειλινὸν, κρότον τοῖς ὠσὶν ἠχηθεῖσα, τῷ φόβῳ ἐκρύβη· ἁμαρτιῶν μου τὰ πλήθη, καὶ κριμάτων σου ἀβύσσους, τίς ἐξιχνιάσει ψυχοσῶστα Σωτήρ μου; μή με τὴν σὴν δούλην παρίδῃς, ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.

ΤΗ͂Ι ΑΓΙΑ͂Ι ΚΑΙ ΜΕΓΑΛΗ͂Ι Ε΄.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Τροπάριον. Ἦχος πλ. δ΄.

Ὅτε οἱ Ἔνδοξοι Μαθηταὶ, ἐν τῷ νιπτῆρι τοῦ Δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβὴς, φιλαργυρίαν νοσήσας ἐσκοτίζετο, καὶ ἀνόμοις Κριταῖς, σὲ τὸν δίκαιον Κριτὴν παραδίδωσι. Βλέπε χρημάτων ἐραστὰ, τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον· φεῦγε ἀκόρεστον ψυχὴν, τὴν Διδασκάλῳ τοιαῦτα τολμήσασαν. Ὁ περὶ πάντας ἀγαθὸς, Κύριε δόξα σοι.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸν Ἄρτον λαβὼν, εἰς χεῖρας ὁ προδότης, κρυφίως αὐτὰς ἐκτείνει, καὶ λαμβάνει, τὴν τιμὴν τοῦ πλάσαντος, ταῖς οἰκείαις χερσὶ τὸν ἄνθρωπον, καὶ ἀδιόρθωτος ἔμεινεν, Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

Εἰς τοὺς Αἴνους. Ἰδιόμελα. Ἦχος β΄.

Συντρέχει λοιπὸν τὸ συνέδριον τῶν Ἰουδαίων, ἵνα τὸν Δημιουργὸν, καὶ Κτίστην τῶν ἁπάντων Πιλάτῳ παραδώσῃ. Ὢ τῶν ἀνόμων, ὢ τῶν ἀπίστων, ὅτι τὸν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκροὺς, εἰς κρίσιν εὐτρε-

πίζουσι· τὸν ἰώμενον τὰ πάθη, πρὸς πάθος ἑτοιμάζουσι. Κύριε μακρόθυμε, μέγα σου τὸ ἔλεος, δόξα σοι.

Ὁ αὐτός.

Ἰούδας ὁ παράνομος Κύριε, ὁ βάψας ἐν τῷ Δείπνῳ τὴν χεῖρα, ἐν τῷ τρυβλίῳ μετὰ σοῦ, ἐξέτεινεν ἀνόμως τὰς χεῖρας, τοῦ λαβεῖν ἀργύρια· καὶ ὁ τοῦ μύρου λογισάμενος τιμὴν, σὲ τὸν ἀτίμητον οὐκ ἔφριξε πωλῆσαι· ὁ τοὺς πόδας ὑφαπλώσας, ἐπὶ τὸ νίψαι τὸν Δεσπότην, κατεφίλησε δολίως, εἰς τὸ προδοῦναι τοῖς ἀνόμοις· χοροῦ δὲ Ἀποστόλων ῥιφεὶς, καὶ τὰ τριάκοντα ῥίψας ἀργύρια, σοῦ τὴν τριήμερον Ἀνάστασιν οὐκ εἶδε· δι' ἧς ἐλέησον ἡμᾶς.

Ὁ αὐτός.

Ἰούδας ὁ προδότης δόλιος ὢν, δολίῳ φιλήματι παρέδωκε τὸν Σωτῆρα Κύριον· τὸν Δεσπότην τῶν ἁπάντων, ὡς δοῦλον πέπρακε τοῖς Ἰουδαίοις· ὡς πρόβατον ἐπὶ σφαγὴν, οὕτως ἠκολούθει, ὁ Ἀμνὸς ὁ τοῦ Θεοῦ, ὁ Υἱὸς ὁ τοῦ Πατρὸς, ὁ μόνος Πολυέλεος.

Ὁ αὐτός.

Ἰούδας ὁ δοῦλος καὶ δόλιος, ὁ μαθητὴς καὶ ἐπίβουλος, ὁ φίλος καὶ διάβολος ἐκ τῶν ἔργων ἀπεφάνθη· ἠκολούθει γὰρ τῷ Διδασκάλῳ, καὶ καθ' ἑαυτὸν ἐμελέτησε τὴν προδοσίαν· ἔλεγεν ἐν ἑαυτῷ· παραδώσω τοῦτον, καὶ κερδήσω τὰ συναχθέντα χρήματα· ἐπεζήτει δὲ καὶ τὸ μῦρον πραθῆναι, καὶ τὸν Ἰησοῦν δόλῳ κρατηθῆναι· ἀπέδωκεν ἀσπασμὸν, παρέδωκε τον Χριστον· καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν, οὕτως ἠκολούθει, ὁ μόνος εὔσπλαγχνος, καὶ φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Ἦχος ὁ αὐτός.

Ὃν ἐκήρυξεν Ἀμνὸν Ἡσαΐας, ἔρχεται ἐπὶ σφαγὴν ἑκούσιον, καὶ τὸν νῶτον δίδωσιν εἰς μάστιγας, τὰς σιαγόνας εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπον οὐκ ἀπεστράφη ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· θανάτῳ δὲ ἀσχήμονι καταδικάζεται· πάντα ὁ ἀναμάρτητος ἑκουσίως καταδέχεται, ἵνα πᾶσι δωρήσηται τὴν ἐκ νεκρῶν Ἀνάστασιν.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Ἰδιόμελα. Ἦχος πλ. δ'.

Σήμερον τὸ κατὰ τοῦ Χριστοῦ πονηρὸν συνήχθη συνέδριον, καὶ κατ' αὐτοῦ κενὰ ἐβουλεύσατο, παραδοῦναι Πιλάτῳ, εἰς θάνατον τὸν ἀνεύθυνον· σήμερον τὴν τῶν χρημάτων ἀγχόνην Ἰούδας ἑαυτῷ περιτίθησι, καὶ στερεῖται κατ' ἄμφω ζωῆς προσκαίρου καὶ θείας· σήμερον Καϊάφας ἄκων προφητεύει, συμφέρει λέγων, ὑπὲρ τοῦ λαοῦ ἵνα ἀπολέσθαι· ἦλθε γὰρ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν τοῦ παθεῖν, ἵνα ἡμᾶς ἐλευθερώσῃ ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχος. Ὁ ἐσθίων ἄρτους μου. Ἦχος ὁ αὐτός.

Σήμερον ὁ Ἰούδας τὸ τῆς φιλοπτωχείας κρύπτει προσωπεῖον, καὶ τῆς πλεονεξίας ἀνακαλύπτει τὴν μορφήν· οὐκέτι τῶν πενήτων φροντίζει· οὐκέτι τὸ μῦρον πιπράσκει, τὸ τῆς ἁμαρτωλοῦ· ἀλλὰ τὸ οὐράνιον μῦρον, καὶ ἐξ αὐτοῦ νοσφίζεται τὰ ἀργύρια. Τρέχει πρὸς Ἰουδαίȣς, λέγει τοῖς παρανόμοις· τί μοι θέλετε δȣ̃ναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ὢ φιλαργυρίας προδότȣ· εὔωνον ποιεῖται τὴν πρᾶσιν, πρὸς τὴν γνώμην τῶν ἀγοραζόντων, τοῦ πωλουμένου τὴν πραγματείαν ποιεῖται· οὐκ ἀκριβολογεῖται πρὸς τὴν τιμὴν, ἀλλ' ὡς δοῦλον φυγάδα ἀπεμπωλεῖ· ἔθος γὰρ τοῖς κλέπτουσι, ῥίπτειν τὰ τίμια· νῦν ἔβαλε τὰ ἅγια τοῖς κυσὶν ὁ μαθητής· ἡ γὰρ λύσσα τῆς φιλαργυρίας, κατὰ τοῦ ἰδίου Δεσπότου, μαίνεσθαι ἐποίησεν αὐτόν· ἧς τὴν πεῖραν φύγωμεν, κράζοντες· Μακρόθυμε Κύριε δόξα σοι.

Στίχος. Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. Ἦχος ὁ αὐτός.

Ὁ τρόπος σου δολιότητος γέμει, παράνομε Ἰούδα· νοσῶν γὰρ φιλαργυρίαν, ἐκέρδισας μισανθρωπίαν· εἰ γὰρ πλοῦτον ἠγάπας, τί περὶ πτωχείας διδάσκοντι ἐφοίτας; εἰ δὲ καὶ ἐφίλεις, ἵνα τί ἐπώλεις τὸν ἀτίμητον, προδιδοὺς εἰς μιαιφονίαν; φρίξον Ἥλιε, στέναξον ἡ γῆ, καὶ κλονουμένη βόησον· Ἀνεξίκακε Κύριε δόξα σοι.

Στίχος. Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ.

Ἦχος ὁ αὐτός.

Μηδεὶς ὦ πιστοὶ τοῦ Δεσποτικοῦ Δείπνου ἀμύητος, μηδεὶς ὅλως ὁ ὡς Ἰούδας δολίως προσίτω τῇ Τραπέζῃ· ἐκεῖνος γὰρ τὸν ψωμὸν δεξάμενος, κατὰ τοῦ ἄρτου ἐχώρησε, σχήματι μὲν ὢν μαθητὴς, πράγματι δὲ παρὼν φονευτής· τοῖς μὲν Ἰουδαίοις συναγαλλόμενος, τοῖς δὲ Ἀποστόλοις συναυλιζόμενος· μισῶν ἐφίλει, φιλῶν ἐπώλει, τὸν ἐξαγοράσαντα ἡμᾶς τῆς κατάρας, τὸν Θεὸν καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. δ'.

Ὁ τρόπος σου δολιότητος γέμει, παράνομε Ἰούδα· νοσῶν γὰρ φιλαργυρίαν, ἐκέρδισας μισανθρωπίαν· εἰ γὰρ πλοῦτον ἠγάπας, τί περὶ πτωχείας διδάσκοντι ἐφοίτας; εἰ δὲ καὶ ἐφίλεις, ἵνα τί ἐπώλεις τὸν ἀτίμητον, προδιδοὺς εἰς μιαιφονίαν; φρίξον Ἥλιε, στέναξον ἡ γῆ, καὶ κλονουμένη βόησον· Ἀνεξίκακε Κύριε δόξα σοι.

Καὶ νῦν. Ἦχος πλ. δ'.

Μυσταγωγῶν σου Κύριε τοὺς Μαθητὰς, ἐδίδασκες λέγων· ὦ φίλοι, ὁρᾶτε, μηδεὶς ὑμᾶς χωρίσει μου φόβος· εἰ γὰρ πάσχω, ἀλλ' ὑπὲρ τοῦ Κόσμου. Μὴ οὖν σκανδαλίζεσθε ἐν ἐμοί· οὐ γὰρ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι. καὶ θεῖναι τὴν ψυχήν μου λύτρον ὑπὲρ τοῦ Κόσμου. Εἰ οὖν ὑμεῖς φίλοι μου ἐστὲ, ἐμὲ μιμεῖσθε· ὁ θέλων πρῶτος εἶναι, ἔστω ἔσχατος· ὁ Δεσπότης, ὡς ὁ Διάκονος· μείνατε ἐν ἐμοὶ, ἵνα βότρυν φέρητε· ἐγὼ γάρ εἰμι τῆς ζωῆς ἡ ἄμπελος.

Τῌ ΑΓΙᾼ ΚΑΙ ΜΕΓΑΛῌ Ε'.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Εἰς τοὺς Αἴνους. Ἰδιόμελα. Ἦχος β'.

Συντρέχει λοιπὸν τὸ συνέδριον τῶν Ἰουδαίων, ἵνα τὸν Δημιουργὸν, καὶ Κτίστην τῶν ἁπάντων, Πιλάτῳ

παραδώσῃ. Ὦ τῶν ἀνόμων, ὢ τῶν ἀπίστων, ὅτι τὸν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς, εἰς κρίσιν εὐτρεπίζουσι· τὸν ἰώμενον τὰ πάθη, πρὸς πάθος ἑτοιμάζουσι. Κύριε μακρόθυμε, μέγα σου τὸ ἔλεος, δόξα σοι. Δίς.

Ὁ αὐτός.

Ἰούδας ὁ παράνομος Κύριε, ὁ βάψας ἐν τῷ Δείπνῳ τὴν χεῖρα, ἐν τῷ τρυβλίῳ μετὰ σοῦ, ἐξέτεινεν ἀνόμως τὰς χεῖρας, τοῦ λαβεῖν ἀργύρια· καὶ τοῦ μύρου λογισάμενος τιμήν, σὲ τὸν ἀτίμητον οὐκ ἔφριξε πωλῆσαι· ὁ τοὺς πόδας ὑφαπλώσας, ἐπὶ τὸ νίψαι τὸν Δεσπότην, κατεφίλησε δολίως, εἰς τὸ προδοῦναι τοῖς ἀνόμοις· χοροῦ δὲ Ἀποστόλων ῥιφείς, καὶ τὰ τριάκοντα ῥίψας ἀργύρια, σοῦ τὴν τριήμερον Ἀνάστασιν οὐκ οἶδε· δι' ἧς ἐλέησον ἡμᾶς. Δίς.

Ὁ αὐτός.

Ἰούδας ὁ προδότης δόλιος ὤν, δολίῳ φιλήματι παρέδωκε τὸν Σωτῆρα Κύριον· τὸν Δεσπότην τῶν ἁπάντων, ὡς δοῦλον πέπρακε τοῖς Ἰουδαίοις· ὡς πρόβατον ἐπὶ σφαγήν, οὕτως ἠκολούθει, ὁ Ἀμνὸς ὁ τοῦ Θεοῦ, ὁ Υἱὸς ὁ τοῦ Πατρός, ὁ μόνος Πολυέλεος. Δίς.

Ὁ αὐτός.

Ἰούδας ὁ δοῦλος καὶ δόλιος, ὁ μαθητὴς καὶ ἐπίβουλος, ὁ φίλος καὶ διάβολος ἐκ τῶν ἔργων ἀπεφάνθη· ἠκολούθει γὰρ τῷ Διδασκάλῳ, καὶ καθ' ἑαυτὸν ἐμελέτησε τὴν προδοσίαν· ἔλεγεν ἐν ἑαυτῷ· παραδώσω τοῦτον, καὶ κερδήσω τὰ συναχθέντα χρήματα· ἐπεζήτει δὲ καὶ τὸ μῦρον πραθῆναι, καὶ τὸν Ἰησοῦν δόλῳ κρατηθῆναι· ἀπέδωκεν ἀσπασμόν, παρέδωκε τὸν Χριστόν· καὶ ὡς πρόβατον ἐπὶ σφαγήν, οὕτως ἠκολούθει, ὁ μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος. Δίς.

Δόξα, καὶ νῦν. Ἦχος ὁ αὐτός.

Ὃν ἐκήρυξεν Ἀμνὸν Ἡσαΐας, ἔρχεται ἐπὶ σφαγὴν ἑκούσιον, καὶ τὸν νῶτον δίδωσιν εἰς μάστιγας, τὰς σιαγόνας εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπον οὐκ ἀπεστράφη

ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· θανάτῳ δὲ ἀσχήμονι καταδικάζεται. Πάντα ὁ ἀναμάρτητος ἑκουσίως καταδέχεται, ἵνα πᾶσι δωρήσηται τὴν ἐκ νεκρῶν Ἀνάστασιν. Δίς.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Γέννημα ἐχιδνῶν, ἀληθῶς ὁ Ἰούδας, φαγόντων τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ γογγυζόντων κατὰ τοῦ τροφέως· ἔτι γὰρ τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, κατελάλουν τοῦ Θεοῦ οἱ ἀχάριστοι· καὶ οὗτος ὁ δυσσεβὴς τὸν οὐράνιον ἄρτον ἐν τῷ στόματι βαστάζων, κατὰ τοῦ Σωτῆρος τὴν προδοσίαν εἰργάσατο. Ὢ γνώμης ἀκορέστου, καὶ τόλμης ἀπανθρώπου· τὸν τρέφοντα ἐπώλει, καὶ ὃν ἐφίλει Δεσπότην, παρεδίδου εἰς θάνατον. Ὄντως ἐκείνων Υἱὸς ὁ παράνομος, καὶ σὺν αὐτοῖς τὴν ἀπώλειαν ἐκληρώσατο· ἀλλὰ φεῖσαι Κύριε τοιαύτης ἀπανθρωπίας τὰς ψυχὰς ἡμῶν, ὁ μόνος ἐν μακροθυμίᾳ ἀνείκαστος. Δίς.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ.


ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Τροπάριον. Ἦχος πλ. δ'.

Ὅτε οἱ Ἔνδοξοι Μαθηταί, ἐν τῷ νιπτῆρι τοῦ Δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβής, φιλαργυρίαν νοσήσας ἐσκοτίζετο, καὶ ἀνόμοις Κριταῖς, σὲ τὸν δίκαιον Κριτὴν παραδίδωσι. Βλέπε χρημάτων ἐραστά, τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον· φεῦγε ἀκόρεστον ψυχήν, τὴν Διδασκάλῳ τοιαῦτα τολμήσασαν. Ὁ περὶ πάντας ἀγαθός, Κύριε δόξα σοι.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τὸν δι' ἡμᾶς Σταυρωθέντα, δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ Ξύλου, καὶ ἔλεγεν· Εἰ καὶ Σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.



Εἰς τοὺς Αἴνους. Ἰδιόμελα. Ἦχος γ'.

Δύο καὶ πονηρὰ ἐποίησεν, ὁ πρωτότοκος Υἱός μου Ἰσραήλ· ἐμὲ ἐγκατέλιπε πηγὴν ὕδατος ζωῆς, καὶ ὤρυξεν ἑαυτῷ φρέαρ συντετριμμένον· ἐμὲ ἐπὶ Ξύλου ἐσταύρωσε, τὸν δὲ Βαραββᾶν ᾐτήσατο καὶ ἀπέλυσεν· ἐξέστη ὁ Οὐρανὸς ἐπὶ τούτῳ, καὶ ὁ Ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε· σὺ δὲ Ἰσραὴλ οὐκ ἐνετράπης, ἀλλὰ θανάτῳ με παρέδωκας. Ἄφες αὐτοῖς Πάτερ Ἅγιε· οὐ γὰρ οἴδασι τί ἐποίησαν.

Ὁ αὐτός.

Ἕκαστον μέλος τῆς ἁγίας σου Σαρκὸς, ἀτιμίαν δι' ἡμᾶς ὑπέμεινε· τὰς ἀκάνθας, ἡ κεφαλή· ἡ ὄψις, τὰ ἐμπτύσματα· αἱ σιαγόνες, τὰ ῥαπίσματα· τὸ στόμα, τὴν ἐξ ὄξει κερασθεῖσαν χολὴν τῇ γεύσει· τὰ ὦτα, τὰς δυσσεβεῖς βλασφημίας· ὁ νῶτος, τὴν φραγγέλλωσιν· καὶ ἡ χεὶρ, τὸν κάλαμον· αἱ τοῦ ὅλου Σώματος ἐκτάσεις ἐν τῷ Σταυρῷ· τὰ ἄρθρα, τοὺς ἥλους· καὶ ἡ πλευρὰ, τὴν λόγχην. Ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ παθῶν ἐλευθερώσας ἡμᾶς, ὁ συγκαταβὰς ἡμῖν φιλανθρωπίᾳ, καὶ ἀνυψώσας ἡμᾶς, Παντοδύναμε Σωτὴρ ἐλέησον ἡμᾶς.

Ὁ αὐτός.

Σταυρωθέντος σου Χριστὲ, πᾶσα ἡ Κτίσις βλέπουσα ἔτρεμε, τὰ θεμέλια τῆς γῆς διεδονήθησαν φόβῳ τοῦ κράτους σου· σοῦ γὰρ ὑψωθέντος σήμερον, γένος Ἑβραίων ἀπώλετο· τοῦ Ναοῦ τὸ καταπέτασμα διεῤῥάγη διχῶς, καὶ νεκροὶ ἐκ τῶν τάφων ἐξανέστησαν. Ἑκατόνταρχος ἰδὼν τὸ θαῦμα, ἔφριξε· παρεστῶσα δὲ ἡ Μήτηρ σου, ἐβόα θρηνῳδοῦσα μητρικῶς· Πῶς μὴ θρηνήσω, καὶ τὰ σπλάγχνα μου τύψω, ὁρῶσά σε γυμνὸν ὡς κατάκριτον, τῷ Ξύλῳ κρεμάμενον; Ὁ σταυρωθεὶς, καὶ ταφεὶς, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Δόξα. Ἦχος πλ. β'.

Ἐξέδυσάν με τὰ ἱμάτιά μου, καὶ ἐνέδυσάν με χλαμύδα κοκκίνην· ἔθηκαν ἐπὶ τὴν κεφαλήν μου στέφανον ἐξ

ἀκανθῶν, καὶ ἐπὶ τὴν δεξιάν μου χεῖρα, ἔδωκαν κάλαμον· ἵνα συντρίψω αὐτοὺς, ὡς σκεύη Κεραμέως.

Καὶ νῦν.

Τὸν νῶτόν μου ἔδωκα εἰς μαστίγωσιν, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπεστράφη ἀπὸ ἐμπτυσμάτων· βήματι Πιλάτου παρέστην, καὶ Σταυρὸν ὑπέμεινα, διὰ τὴν τοῦ Κόσμου σωτηρίαν.

Εἰς τὸν Στίχον τῶν Αἴνων. Ἰδιόμελα. Ἦχος ά.

Πᾶσα ἡ Κτίσις ἠλλοιοῦτο φόβῳ, θεωροῦσά σε ἐν Σταυρῷ κρεμάμενον Χριστέ· ὁ Ἥλιος ἐσκοτίζετο, καὶ γῆς τὰ θεμέλια συνεταράττετο· τὰ πάντα συνέπασχον, τῷ τὰ πάντα Κτίσαντι. Ὁ ἑκουσίως δι' ἡμᾶς ὑπομείνας, Κύριε δόξα σοι.

Στίχος. Διεμερίσαντο τὰ ἱμάτιά μου. Ἦχος β'.

Λαὸς δυσσεβὴς καὶ παράνομος, ἵνα τί μελετᾷ κενά; ἵνα τί τὴν ζωὴν τῶν ἁπάντων θανάτῳ κατεδίκασε; μέγα θαῦμα, ὅτι ὁ Κτίστης τοῦ Κόσμου, εἰς χεῖρας ἀνόμων παραδίδοται, καὶ ἐπὶ Ξύλου ἀνυψοῦται ὁ φιλάνθρωπος, ἵνα τοὺς ἐν Ἅδῃ δεσμώτας ἐλευθερώσῃ κράζοντας· Μακρόθυμε Κύριε δόξα σοι.

Στίχος. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν. Ἦχος β'.

Σήμερον σὲ θεωροῦσα, ἡ ἄμεμπτος Παρθένος ἐν Σταυρῷ Λόγε ἀναρτώμενον, ὀδυρομένη μητρῷα σπλάγχνα, ἐτέτρωτο τὴν καρδίαν πικρῶς, καὶ στενάζουσα ὀδυνηρῶς ἐκ βάθους ψυχῆς, παρειὰς σὺν θριξὶ καταξαίνουσα, κατετρύχετο· διὸ καὶ τὸ στῆθος τύπτουσα, ἀνέκραγε γοερῶς· Οἴμοι θεῖον τέκνον, οἴμοι τὸ φῶς τοῦ Κόσμου· τί ἔδυς ἐξ ὀφθαλμῶν μȣ, ὁ Ἀμνὸς τȣ̃ Θεοῦ; Ὅθεν αἱ στρατιαὶ τῶν Ἀσωμάτων, τρόμῳ συνείχοντο λέγουσαι· Ἀκατάληπτε Κύριε δόξα σοι.

Στίχος. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων. Ἦχος β'.

Ἐπὶ Ξύλου βλέπουσα, κρεμάμενον Χριστὲ, σὲ τὸν πάντων Κτίστην καὶ Θεὸν, ἡ σὲ ἀσπόρως Τεκοῦσα, ἐβόα πικρῶς· Υἱέ μου, ποῦ τὸ κάλλος ἔδυ τῆς μορφῆς

σου; σὺ φέρω καθορᾷν σε, ἀδίκως σταυρούμενον. Σπεῦσον οὖν ἀνάστηθι, ὅπως ἴδω κἀγὼ, σοῦ τὴν ἐκ νεκρῶν τριήμερον ἐξανάστασιν.

Δόξα. Ἦχος πλ. δ'.

Κύριε ἀναβαίνοντός σου ἐν τῷ Σταυρῷ, φόβος καὶ τρόμος ἐπέπεσε τῇ Κτίσει· καὶ τὴν γῆν μὲν ἐκώλυες καταπιεῖν τοὺς σταυροῦντάς σε· τῷ δὲ Ἅδῃ ἐπέτρεπες, ἀναπέμπειν τοὺς δεσμίους, εἰς ἀναγέννησιν βροτῶν. Κριτὰ ζώντων καὶ νεκρῶν, ζωὴν ἦλθες παρασχεῖν, καὶ οὐ θάνατον· φιλάνθρωπε δόξα σοι.

Καὶ νῦν. Ὁ αὐτός.

Ἤδη βάπτεται κάλαμος ἀποφάσεως, παρὰ Κριτῶν ἀδίκων, καὶ Ἰησοῦς δικάζεται, καὶ κατακρίνεται Σταυρῷ, καὶ πάσχει ἡ Κτίσις, ἐν Σταυρῷ καθορῶσα τὸν Κύριον· ἀλλ' ὁ φύσει σώματος δι' ἐμὲ πάσχων, ἀγαθὲ Κύριε δόξα σοι.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου Αἵματι, τῷ Σταυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν δόξα σοι.

ΑΙ ΩΡΑΙ

ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΠΑΡΑΣΚΕΥΗΣ.



ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΩΡΑΝ.

Τροπάριον. Ἦχος α'.

Σταυρωθέντος σου Χριστὲ, ἀνῃρέθη ἡ Τυραννὶς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ Ἄγγελος, οὐχ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσας ἡμᾶς, δόξα σοι.



Στιχηρὰ Ἰδιόμελα τῆς ά. Ὥρας. Ἦχος πλ. δ'.

Σήμερον τοῦ Ναοῦ τὸ καταπέτασμα, εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων, καὶ τὰς ἰδίας ἀκτῖνας, ὁ ἥλιος κρύπτει, Δεσπότην ὁρῶν σταυρούμενον.

Καὶ ψάλλει ὁ Β'. Χορὸς τὸ αὐτὸ ἄνευ στίχου.

Εἶτα ὁ Α'. Χορός.

Στίχος. Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν.

Ἦχος πλ. δ'.

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθης Χριστὲ Βασιλεῦ, καὶ ὡς Ἀμνὸς ἄκακος προσηλώθης τῷ Σταυρῷ, ὑπὸ τῶν παρανόμων ἀνδρῶν, διὰ τὰς ἁμαρτίας ἡμῶν φιλάνθρωπε.

Δόξα. Ἦχος πλ. δ'.

Τοῖς συλλαβοῦσί σε παρανόμοις, ἀνεχόμενος οὕτως ἐβόας Κύριε· Εἰ καὶ ἐπατάξατε τὸν Ποιμένα, καὶ διεσκορπίσατε τὰ δώδεκα πρόβατα τοὺς Μαθητάς μου, ἠδυνάμην πλείους ἢ δώδεκα λεγεῶνας, παραστῆσαι Ἀγγέλων· ἀλλὰ μακροθυμῶ, ἵνα πληρωθῇ, ἃ ἐδήλωσα ὑμῖν διὰ τῶν Προφητῶν μου, ἄδηλα καὶ κρύφια. Κύριε δόξα σοι.

Καὶ νῦν. Τὸ αὐτό.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τὸν δι' ἡμᾶς Σταυρωθέντα, δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ Ξύλου, καὶ ἔλεγεν· Εἰ καὶ Σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

ΕΙΣ ΤΗΝ ΤΡΙΤΗΝ ΩΡΑΝ.

Τροπάριον. Ἦχος πλ. β'.

Κύριε κατέκρινάν σε οἱ Ἰουδαῖοι θανάτῳ, τὴν ζωὴν τῶν ἁπάντων· οἱ τὴν ἐρυθρὰν ῥάβδῳ πεζεύσαντες, Σταυρῷ σε προσήλωσαν, καὶ οἱ ἐκ πέτρας μέλι θηλάσαντες, χολήν σοι προσήνεγκαν· ἀλλ' ἑκὼν ὑπέμεινας, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῆς δουλείας τοῦ ἐχθροῦ, Χριστὲ ὁ Θεὸς δόξα σοι.

Στιχηρὰ Ἰδιόμελα τῆς Γ'. Ὥρας.

Ἦχος πλ. δ'.

Διὰ τὸν φόβον τῶν Ἰουδαίων, ὁ φίλος σου, καὶ ὁ πλησίον Πέτρος, ἠρνήσατό σε Κύριε, καὶ ὀδυρόμενος, οὕτως ἐβόα· Τῶν δακρύων μου μὴ παρασιωπήσῃς· εἶπα γὰρ φυλάξαι τὴν πίστιν Οἰκτίρμον, καὶ οὐκ ἐφύλαξα· καὶ ἡμῶν τὴν μετάνοιαν, οὕτω δέξαι, καὶ ἐλέησον ἡμᾶς.

Ὁ Β'. Χορὸς τὸ αὐτὸ, ἄνευ στίχου. Εἶτα ὁ Α'. Χορός.

Στίχος. Τὰ ῥήματά μου ἐνώτισαι Κύριε.

Ἦχος ὁ αὐτός.

Πρὸ τοῦ τιμίου σου Σταυροῦ στρατιωτῶν ἐμπαιζόντων σε Κύριε, αἱ νοεραὶ Στρατιαὶ κατεπλήττοντο· ἀνεδήσω γὰρ στέφανον ὕβρεως, ὁ τὴν γῆν ζωγραφήσας τοῖς ἄνθεσι, καὶ τὴν χλαῖναν χλευαζόμενος ἐφόρεσας, ὁ νεφέλαις περιβάλλων τὸ στερέωμα· τοιαύτῃ γὰρ Οἰκονομίᾳ, ἐγνώσθη σου ἡ εὐσπλαγχνία Χριστὲ, τὸ μέγα ἔλεος δόξα σοι.

Ὁ Β'. Χορὸς τὸ αὐτὸ, μετὰ τοῦ παρόντος στίχου.

Στίχος. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.

Δόξα. Ἦχος πλ. α'.

Ἑλκόμενος ἐπὶ Σταυροῦ, οὕτως ἐβόας Κύριε· Διὰ ποῖον ἔργον, θέλετέ με σταυρῶσαι Ἰουδαῖοι; ὅτι τοὺς παραλύτους ὑμῶν συνέσφιγξα; ὅτι τοὺς νεκροὺς, ὡς ἐξ ὕπνου ἀνέστησα; Αἱμόῤῥουν ἰασάμην; Χαναναίαν ἠλέησα; διὰ ποῖον ἔργον θέλετέ με φονεῦσαι Ἰουδαῖοι; ἀλλ' ὄψεσθε εἰς ὃν νῦν ἐκκεντᾶτε, Χριστὸν παράνομοι.

Καὶ νῦν. Τὸ αὐτό.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τὸν δι' ἡμᾶς σταυρωθέντα, δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ Ξύλου, καὶ ἔλεγεν· Εἰ καὶ Σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.



ΕΙΣ ΤΗΝ ΕΚΤΗΝ ΩΡΑΝ.

Τροπάριον. Ἦχος β'.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς, Χριστὲ ὁ Θεός· ἐπὶ Σταυρῷ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ ἔθνη, κράζοντα· Κύριε δόξα σοι.

Στιχηρὰ Ἰδιόμελα τῆς ϛ'. Ὥρας. Ἦχος πλ. δ'.

Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις· Λαός μου, τί ἐποίησά σοι; ἢ τί σοι παρηνώχλησα; τοὺς τυφλούς σου ἐφώτισα· τοὺς λεπροὺς ἐκαθάρισα· ἄνδρα ὄντα ἐπὶ κλίνης ἠνωρθωσάμην· λαός μου, τί ἐποίησά σοι, καὶ τί μοι ἀνταπέδωκας; ἀντὶ τοῦ μάννα, χολήν; ἀντὶ τοῦ ὕδατος, ὄξος; ἀντὶ τοῦ ἀγαπᾷν με, Σταυρῷ με προσηλώσατε; οὐκέτι στέγω λοιπὸν, καλέσω μου τὰ ἔθνη· κἀκεῖνά με δοξάσουσι σὺν τῷ Πατρὶ, καὶ Πνεύματι· κἀγὼ αὐτοῖς δωρήσομαι, ζωὴν τὴν αἰώνιον.

Ὁ Β'. Χορὸς τὸ αὐτὸ, ἄνευ στίχου. Εἶτα ὁ Α'. Χορός.

Στίχος. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν.

Ὁ αὐτός.

Οἱ νομοθέται τοῦ Ἰσραὴλ, Ἰουδαῖοι, καὶ Φαρισαῖοι, ὁ χορὸς τῶν Ἀποστόλων, βοᾷ πρὸς ὑμᾶς· Ἴδε Ναὸς, ὃν ὑμεῖς ἐλύσατε, ἴδε Ἀμνὸς, ὃν ὑμεῖς ἐσταυρώσατε· τάφῳ παρεδώκατε, ἀλλ' ἐξουσίᾳ ἑαυτοῦ ἀνέστη. Μὴ πλανᾶσθε Ἰουδαῖοι· αὐτός γάρ ἐστιν ὁ ἐν θαλάσσῃ σώσας, καὶ ἐν ἐρήμῳ θρέψας· αὐτός ἐστιν ἡ ζωὴ, καὶ τὸ φῶς, καὶ ἡ εἰρήνη τοῦ Κόσμου.

Εἶτα ὁ Β'. Χορὸς τὸ αὐτὸ, μετὰ τοῦ παρόντος στίχου.

Στίχος. Σῶσόν με ὁ Θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα.

Δόξα. Ἦχος πλ. α'.

Δεῦτε χριστοφόροι λαοὶ κατίδωμεν, τί συνεβουλεύσατο Ἰούδας ὁ προδότης, σὺν Ἱερεῦσιν ἀνόμοις, κατὰ τοῦ Σωτῆρος ἡμῶν· σήμερον ἔνοχον θανάτου, τὸν ἀθάνατον Λόγον πεποίηκαν, καὶ Πιλάτῳ προδώσαντες, ἐν τόπῳ Κρανίου ἐσταύρωσαν· καὶ ταῦτα πάσχων, ἐβόα ὁ

Σωτὴρ ἡμῶν λέγων· Ἄφες αὐτοῖς Πάτερ, τὴν ἁμαρτίαν ταύτην, ὅπως γνῶσι τὰ ἔθνη, τὴν ἐκ νεκρῶν μου Ἀνάστασιν.

Καὶ νῦν. Τὸ αὐτό.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Τὸν δι' ἡμᾶς σταυρωθέντα, δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ Ξύλου, καὶ ἔλεγεν· Εἰ καὶ Σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

ΕΙΣ ΤΗΝ ΕΝΝΑΤΗΝ ΩΡΑΝ.

Τροπάριον. Ἦχος πλ. δ΄.

Βλέπων ὁ Λῃστὴς τὸν Ἀρχηγὸν τῆς ζωῆς, ἐπὶ Σταυροῦ κρεμάμενον, ἔλεγεν· Εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθεὶς, ὁ σὺν ἡμῖν σταυρωθεὶς, οὐκ ἂν ὁ Ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο· ἀλλ' ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Στιχηρὰ Ἰδιόμελα. Ἦχος βαρύς.

Θάμβος ἦν κατιδεῖν, τὸν Οὐρανοῦ, καὶ γῆς Ποιητὴν, ἐπὶ Σταυροῦ κρεμάμενον. Ἥλιον σκοτισθέντα· τὴν ἡμέραν δὲ πάλιν εἰς νύκτα μετελθοῦσαν· καὶ τὴν γῆν ἐκ τάφων ἀναπέμπουσαν, σώματα νεκρῶν· μεθ' ὧν προσκυνοῦμέν σε, σῶσον ἡμᾶς.

Ὁ Β΄. Χορός. Τὸ αὐτὸ, ἄνευ στίχου. Εἶτα ὁ Α΄. Χορός.

Στίχος. Διεμερίσαντο τὰ ἱμάτιά μου.

Ἦχος β΄.

Ὅτε τῷ Σταυρῷ προσήλωσαν παράνομοι, τὸν Κύριον τῆς δόξης, ἐβόα πρὸς αὐτούς· Τί ὑμᾶς ἐλύπησα, ἢ ἐν τίνι παρώργισα; πρὸ ἐμοῦ τίς ὑμᾶς ἐρρύσατο ἐκ θλίψεως; καὶ νῦν τί μοι ἀνταποδίδοτε; πονηρὰ ἀντὶ ἀγαθῶν; ἀντὶ στύλου πυρὸς, Σταυρῷ με προσηλώσατε; ἀντὶ νεφέλης, τάφον μοι ὠρύξατε; ἀντὶ τοῦ μάννα, χολήν μοι προσηνέγκατε; ἀντὶ τοῦ ὕδατος, ὄξος ἐποτίσατε; λοιπὸν καλῶ τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι, σὺν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι.

Ὁ Β΄. Τὸ αὐτὸ, μετὰ τοῦ παρόντος στίχου.

Στίχος. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον κρεμᾶται ἐπὶ Ξύλου, ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας. Στέφανον ἐξ ἀκανθῶν περιτίθεται, ὁ τῶν Ἀγγέλων Βασιλεύς. Ψευδῆ πορφύραν περιβάλλεται, ὁ περιβάλλων τὸν Οὐρανὸν ἐν νεφέλαις. Ῥάπισμα κατεδέξατο, ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδάμ. Ἥλοις προσηλώθη, ὁ Νυμφίος τῆς Ἐκκλησίας. Λόγχῃ ἐκεντήθη, ὁ Υἱὸς τῆς Παρθένου. Προσκυνοῦμέν σου τὰ Πάθη Χριστέ. Δεῖξον ἡμῖν, καὶ τὴν ἔνδοξόν σου Ἀνάστασιν.

Καὶ νῦν. Τὸ αὐτό. Κοντάκιον. Ἦχος πλ. δ΄.

Τὸν δι' ἡμᾶς Σταυρωθέντα, δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ Ξύλου, καὶ ἔλεγεν· Εἰ καὶ Σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ.

ΕΣΠΕΡΑΣ.

Ἱστῶμεν Στίχους ς΄. Ἦχος α΄.

Πᾶσα ἡ Κτίσις, ἠλλοιοῦτο φόβῳ, θεωροῦσά σε ἐν Σταυρῷ κρεμάμενον Χριστέ· ὁ Ἥλιος ἐσκοτίζετο, καὶ γῆς τὰ θεμέλια συνεταράττετο· τὰ πάντα συνέπασχον τῷ τὰ πάντα κτίσαντι· ὁ ἑκουσίως δι' ἡμᾶς ὑπομείνας, Κύριε δόξα σοι.

Ἦχος β΄.

Λαὸς δυσσεβὴς καὶ παράνομος, ἵνα τί μελετᾷ κενά; ἵνα τί τὴν ζωὴν τῶν ἁπάντων θανάτῳ κατεδίκασε; μέγα θαῦμα, ὅτι ὁ Κτίστης τοῦ Κόσμου, εἰς χεῖρας ἀνόμων παραδίδοται, καὶ ἐπὶ Ξύλου ἀνυψοῦται ὁ φιλάνθρωπος, ἵνα τοὺς ἐν τῷ Ἅδῃ δεσμώτας ἐλευθερώσῃ, κράζοντας· Μακρόθυμε Κύριε δόξα σοι.

Ὁ αὐτός.

Σήμερον σὲ θεωροῦσα, ἡ ἄμεμπτος Παρθένος ἐν Σταυρῷ Λόγε ἀναρτώμενον, ὀδυρωμένη μητρῷα σπλάγχνα,

ἐτέτρωτο τὴν καρδίαν πικρῶς· καὶ στενάζουσα ὀδυνηρῶς ἐκ βάθους ψυχῆς, παρειὰς σὺν θριξὶ καταξαίνουσα, κατετρύχετο· διὸ, καὶ τὸ στῆθος τύπτουσα, ἀνέκραγε γοερῶς· Οἴμοι θεῖον Τέκνον, οἴμοι τὸ φῶς τοῦ Κόσμου· τί ἔδυς ἐξ ὀφθαλμῶν μου ὁ Υἱὸς τοῦ Θεοῦ; Ὅθεν αἱ στρατιαὶ τῶν Ἀσωμάτων, τρόμῳ συνείχοντο λέγουσαι· Ἀκατάληπτε Κύριε δόξα σοι.

Ὁ αὐτός.

Ἐπὶ Ξύλου βλέπουσα, κρεμάμενον Χριστὲ, σὲ τὸν πάντων Κτίστην, καὶ Θεὸν, ἡ σὲ ἀσπόρως Τεκοῦσα, ἐβόα πικρῶς· Υἱέ μου, ποῦ τὸ κάλλος ἔδυ τῆς μορφῆς σου; οὐ φέρω καθορᾷν σε, ἀδίκως σταυρούμενον. Σπεῦσον οὖν ἀνάστηθι, ὅπως ἴδω κἀγὼ, σοῦ τὴν ἐκ νεκρῶν, τριήμερον ἐξανάστασιν.

Δόξα. Ἦχος πλ. β'.

Σήμερον ὁ Δεσπότης τῆς Κτίσεως παρίσταται Πιλάτῳ, καὶ Σταυρῷ παραδίδεται ὁ Κτίστης τῶν ἁπάντων, ὡς ἀμνὸς προσαγόμενος τῇ ἰδίᾳ βουλήσει· τοῖς ἥλοις προσπήγνυται, καὶ τὴν πλευρὰν κεντᾶται, καὶ τῷ σπόγγῳ προσψαύεται, ὁ μάννα ἐπομβρήσας· τὰς σιαγόνας ῥαπίζεται ὁ Λυτρωτὴς τοῦ Κόσμου, καὶ ὑπὸ τῶν ἰδίων δούλων ἐμπαίζεται, ὁ Πλάστης τῶν ἁπάντων. Ὢ Δεσπότου φιλανθρωπίας, ὑπὲρ τῶν σταυρούντων παρεκάλει τὸν ἴδιον Πατέρα λέγων· Ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασιν οἱ ἄνομοι, τί ἀδίκως πράττουσιν.

Δόξα. Ἦχος ὁ αὐτός.

Ὢ πῶς ἡ παράνομος Συναγωγὴ, τὸν Βασιλέα τῆς Κτίσεως κατεδίκασε θανάτῳ· μὴ αἰδεσθεὶς τὰς εὐεργεσίας, ἃς ἀναμιμνήσκων, προησφαλίζετο λέγων πρὸς αὐτούς· Λαός μου, τί ἐποίησα ὑμῖν; οὐ θαυμάτων ἐνέπλησα τὴν Ἰουδαίαν; οὐ νεκροὺς ἐξανέστησα μόνῳ τῷ λόγῳ; οὐ πᾶσαν μαλακίαν ἐθεράπευσα καὶ νόσον; τί οὖν μοι ἀνταποδίδοτε; εἰς τί ἀμνημονεῖτέ μου; ἀντὶ τῶν ἰαμάτων πληγάς μοι ἐπιθέντες; ἀντὶ ζωῆς νεκροῦντες; κρεμῶντες ἐπὶ Ξύλου, ὡς κακοῦργον τὸν εὐεργέτην; ὡς παράνομον,

τὸν νομοθέτην; ὡς κατάκριτον, τὸν πάντων Βασιλέα; Μακρόθυμε δόξα σοι.

Καὶ νῦν. Ὁ αὐτός.

Φοβερὸν καὶ παράδοξον Μυστήριον, σήμερον ἐνεργέμενον καθορᾶται· ὁ ἀναφὴς, κρατεῖται· δεσμεῖται, ὁ λύων τὸν Ἀδὰμ τῆς κατάρας· ὁ ἐτάζων καρδίας, καὶ νεφροὺς, ἀδίκως ἐτάζεται· εἱρκτῇ κατακλείεται, ὁ τὴν ἄβυσσον κλείσας. Πιλάτῳ παρίςαται, ᾧ τρόμῳ παρίςανται Οὐρανῶν αἱ Δυνάμεις· ῥαπίζεται χειρὶ τȣ̃ πλάσματος, ὁ Πλάςης. Ξύλῳ κατακρίνεται, ὁ κρίνων ζῶντας, καὶ νεκρούς· τάφῳ κατακλείεται, ὁ καθαιρέτης τȣ̃ Ἀδȣ· ὁ πάντα φέρων συμπαθῶς, καὶ πάντας σώσας τῆς ἀρᾶς, ἀνεξίκακε Κύριε δόξα σοι.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος πλ. ά.

Σὲ τὸν ἀναβαλλόμενον, τὸ φῶς ὥσπερ ἱμάτιον, καθελὼν Ἰωσὴφ ἀπὸ τȣ̃ Ξύλȣ, σὺν Νικοδήμῳ, καὶ θεωρήσας νεκρὸν γυμνὸν ἄταφον, εὐσυμπάθητον θρῆνον ἀναλαβὼν, ὀδυρόμενος ἔλεγεν· Οἴμοι γλυκύτατε Ἰησοῦ, ὃν πρὸ μικροῦ ὁ Ἥλιος, ἐν Σταυρῷ κρεμάμενον θεασάμενος, ζόφον περιεβάλλετο, καὶ ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο, καὶ διεῤῥήγνυτο Ναοῦ τὸ καταπέτασμα· ἀλλ' ἰδοὺ νῦν βλέπω σε, δι' ἐμὲ ἑκȣσίως ὑπελθόντα θάνατον· πῶς σε κηδεύσω Θεέ μου; ἢ πῶς σινδόσιν εἱλήσω; ποίαις χερσὶ δὲ προσψαύσω, τὸ σὸν ἀκήρατον σῶμα; ἢ ποῖα ᾄσματα μέλψω, τῇ σῇ ἐξόδῳ Οἰκτίρμον; μεγαλύνω τὰ Πάθη σου· ὑμνολογῶ καὶ τὴν Ταφήν σου, σὺν τῇ Ἀναστάσει, κραυγάζων· Κύριε δόξα σοι.

Τροπάριον. Ἦχος β'.

Ὁ εὐσχήμων Ἰωσὴφ, ἀπὸ τοῦ Ξύλου καθελὼν, τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ, εἱλήσας, καὶ ἀρώμασιν, ἐν Μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Ὁ αὐτός.

Ταῖς Μυροφόροις Γυναιξὶ, παρὰ τὸ μνῆμα ἐπιστὰς, ὁ Ἄγγελος ἐβόα· Τὰ μῦρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια. Χριστὸς δὲ διαφθορᾶς, ἐδείχθη ἀλλότριος.

ΤΩ ΑΓΙΩ ΚΑΙ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Τροπάριον. Ἦχος β'.

Ὁ εὐσχήμων Ἰωσὴφ, ἀπὸ τȣ̃ Ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλήσας, καὶ ἀρώμασιν, ἐν Μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Δόξα Πατρί.

Ὅτε κατῆλθες πρὸς τὸν Θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας, ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Καὶ νῦν.

Ταῖς Μυροφόροις Γυναιξὶ, παρὰ τὸ μνῆμα ἐπιστὰς, ὁ Ἄγγελος ἐβόα· Τὰ μῦρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια. Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος.

Κοντάκιον. Ἦχος πλ. β'.

Τὴν ἄβυσσον ὁ κλείσας νεκρὸς ὁρᾶται, καὶ σμύρνῃ καὶ σινδόνι ἐνειλημμένος, ἐν Μνημείῳ κατατίθεται, ὡς θνητὸς ὁ ἀθάνατος. Γυναῖκες δὲ αὐτὸν ἦλθον μυρίσαι, κλαίουσαι πικρῶς καὶ ἐκβοῶσαι· Τȣ̃το Σάββατόν ἐστι τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας, ἀναστήσεται τριήμερος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Τὴν σήμερον μυστικῶς, ὁ μέγας Μωϋσῆς προδιετυποῦτο λέγων· Καὶ εὐλόγησεν ὁ Θεὸς, τὴν ἡμέραν τὴν ἑβδόμην· τȣ̃το γάρ ἐστὶ, τὸ εὐλογημένον Σάββατον· αὕτη ἐςὶν, ἡ τῆς καταπαύσεως ἡμέρα· ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτȣ̃, ὁ μονογενὴς Υἱὸς τȣ̃ Θεȣ̃, διὰ τῆς κατὰ τὸν θάνατον Οἰκονομίας, τῇ σαρκὶ σαββατίσας· καὶ εἰς ὃ ἦν πάλιν ἐπανελθὼν, διὰ τῆς Ἀναςάσεως, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

ΤΩ ΑΓΙΩ ΚΑΙ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ

ΕΣΠΕΡΑΣ.

Ἱστῶμεν Στίχους ή. Στιχηρὰ Ἀναστάσιμα. Ἦχος ά.

Τὰς Ἑσπερινὰς ἡμῶν εὐχὰς, πρόσδεξαι Ἅγιε Κύριε, καὶ παράσχου ἡμῖν, ἄφεσιν ἁμαρτιῶν· ὅτι μόνος εἶ ὁ δείξας, ἐν Κόσμῳ τὴν Ἀνάστασιν.

Ὅμοιον.

Κυκλώσατε λαοὶ Σιὼν, καὶ περιλάβετε αὐτὴν, καὶ δότε δόξαν ἐν αὐτῇ, τῷ ἀναστάντι ἐκ νεκρῶν· ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Ὅμοιον.

Δεῦτε λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστὸν, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν Ἀνάστασιν· ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ, τὸν Κόσμον λυτρωσάμενος.

Ὅμοιον.

Τῷ Πάθει σου Χριστὲ, παθῶν ἠλευθερώθημεν· καὶ τῇ Ἀναστάσει σου, ἐκ φθορᾶς ἐλυτρώθημεν Κύριε δόξα σοι.

Στιχηρὰ Ἰδιόμελα, τοῦ Μεγάλου Σαββάτου. Ἦχος πλ. δ'.

Σήμερον ὁ Ἅδης στένων βοᾷ· Συνέφερέ μοι, εἰ τὸν ἐκ Μαρίας γεννηθέντα, μὴ ὑπεδεξάμην· ἐλθὼν γὰρ ἐπ' ἐμὲ, τὸ κράτος μου ἔλυσε· πύλας χαλκᾶς συνέτριψε· ψυχὰς ἃς κατεῖχον τὸ πρὶν, Θεὸς ὢν ἀνέστησε. Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ Ἀναστάσει σου.

Ὅμοιον.

Σήμερον ὁ Ἅδης στένων βοᾷ· Κατελύθη μου ἡ ἐξουσία· ἐδεξάμην θνητὸν, ὥσπερ ἕνα τῶν θανέντων· τοῦτον γὰρ κατέχειν ὅλως οὐκ ἰσχύω· ἀλλ' ἀπολῶ μετὰ τούτου, ὧν ἐβασίλευον· ἐγὼ εἶχον τοὺς νεκροὺς ἀπ' αἰῶνος, ἀλλὰ οὗτος ἰδοὺ πάντας ἐγείρει. Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ Ἀναστάσει σου.

Ὅμοιον.

Σήμερον ὁ Ἅδης στένων βοᾷ· Κατεπόθη μου τὸ κράτος· ὁ Ποιμὴν ἐσταυρώθη, καὶ τὸν Ἀδὰμ ἀνέστησεν· ὧν περ ἐβασίλευον ἐστέρημαι, καὶ οὓς κατέπιον ἰσχύσας, πάντας ἐξήμεσα· ἐκένωσε τοὺς τάφους ὁ σταυρωθείς· οὐκ ἰσχύει τοῦ θανάτου τὸ κράτος.

Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ Ἀναστάσει σου.

Δόξα. Ἦχος πλ. β΄.

Τὴν σήμερον μυστικῶς, ὁ μέγας Μωϋσῆς προδιετυποῦτο λέγων· Καὶ εὐλόγησεν ὁ Θεός, τὴν ἡμέραν τὴν ἑβδόμην· τοῦτο γάρ ἐστι, τὸ εὐλογημένον Σάββατον· αὕτη ἐστίν, ἡ τῆς καταπαύσεως ἡμέρα· ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ τῆς κατὰ τὸν θάνατον Οἰκονομίας, τῇ σαρκὶ σαββατίσας· καὶ εἰς ὃ ἦν πάλιν ἐπανελθών, διὰ τῆς Ἀναστάσεως, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ά.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα. Αὕτη γὰρ ἀνεδείχθη Οὐρανός, καὶ Ναὸς τῆς Θεότητος. Αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ Βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες τῆς Πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω Λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθρούς, ὡς παντοδύναμος.



ΔΟΞΑΣΤΙΚΑ

ΑΠΟΛΥΤΙΚΙΑ ΚΑΙ ΚΟΝΤΑΚΙΑ

ΤΩΝ ΕΟΡΤΩΝ ΤΟΥ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ.



ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Τροπάριον. Ἦχος πλ. ά.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ Θεὸς, Γυναιξὶ Μυροφόροις φθεγξάμενος Χαίρετε· καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων Ἀνάστασιν.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος πλ. ά.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα· εἴπωμεν ἀδελφοὶ, καὶ τοῖς μισοῦσιν ἡμᾶς συγχωρήσωμεν, πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Εἰς τὰς Ὥρας. Χριστὸς ἀνέστη ἐκ γ΄.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου Χριστὲ προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν, καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ Πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ

ἁγίαν Ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυρȣ̃ χαρὰ ἐν ὅλῳ τῷ Κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτȣ̃. Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θάνατον ὤλεσεν.

Ἐκ Τρίτου.

Προλαβοῦσαι τὸν Ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ Μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου· Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα μετὰ νεκρῶν, τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα· δράμετε, καὶ τῷ Κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

Ἄπαξ.

Εἰ καὶ ἐν Τάφῳ κατῆλθες Ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ Θεός, Γυναιξὶ Μυροφόροις φθεγξάμενος Χαίρετε· καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων Ἀνάστασιν.

Ἄπαξ.

Ἐν Τάφῳ σωματικῶς, ἐν Ἅδου δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δὲ μετὰ Λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Δόξα Πατρί.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης Βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστὲ ὁ Τάφος σȣ, ἡ πηγὴ τῆς ἡμῶν Ἀναστάσεως.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις παναμώμε Δέσποινα.

Τὸ, Κύριε ἐλέησον, μ'. Δόξα καὶ νῦν. Τὴν Τιμιωτέραν. Καὶ, Δι' Εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν.

Τῌ ΚΥΡΙΑΚῌ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΘΩΜΑ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἰωάννου Μοναχοῦ.
Ἦχος πλ. β΄.

Τῶν θυρῶν κεκλεισμένων, ἐπέστης Χριστὲ πρὸς τοὺς Μαθητάς· τότε ὁ Θωμᾶς οἰκονομικῶς οὐχ εὑρέθη μετ' αὐτῶν· ἔλεγε γάρ, οὐ μὴ πιστεύσω, ἐὰν μὴ ἴδω κἀγὼ τὸν Δεσπότην· ἴδω τὴν πλευράν, ὅθεν ἐξῆλθε τὸ Αἷμα, τὸ Ὕδωρ, τὸ Βάπτισμα· ἴδω τὴν πληγήν, ἐξ ἧς ἰάθη τὸ μέγα τραῦμα ὁ ἄνθρωπος· ἴδω πῶς οὐκ ἦν ὡς Πνεῦμα, ἀλλὰ σάρξ, καὶ ὀστέα. Ὁ τὸν θάνατον πατήσας, καὶ Θωμᾶν πληροφορήσας, Κύριε δόξα σοι.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος πλ. α΄.

Φιλάνθρωπε, μέγα καὶ ἀνείκαστον τὸ πλῆθος τῶν Οἰκτιρμῶν σου· ὅτι ἐμακροθύμησας, ὑπὸ Ἰουδαίων ῥαπιζόμενος, ὑπὸ Ἀποστόλου ψηλαφούμενος, καὶ ὑπὸ τῶν ἀθετούντων σε πολυπραγμονούμενος· πῶς ἐσαρκώθης; πῶς ἐσταυρώθης ὁ ἀναμάρτητος; ἀλλὰ συνέτισον ἡμᾶς, ὡς τὸν Θωμᾶν βοᾷν σοι· Ὁ Κύριός μου, καὶ ὁ Θεός μου δόξα σοι.

Ἀπολυτίκιον. Ἦχος βαρύς.

Ἐσφραγισμένου τοῦ Μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων Ἀνάστασις, Πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Τῇ φιλοπράγμονι δεξιᾷ, τὴν ζωοπάροχόν σου πλευράν, ὁ Θωμᾶς ἐξηρεύνησε Χριστὲ ὁ Θεός· συγκεκλεισμένων γὰρ τῶν θυρῶν ὡς εἰσῆλθες, σὺν τοῖς λοιποῖς Ἀποστόλοις ἐ[illegible] σοι· Κύριος ὑπάρχεις καὶ Θεός μου.

Εἰς τοὺς Αἴνους. Δόξα καὶ νῦν. Ἦχος. πλ. β'.

Μεθ' ἡμέρας ὀκτὼ, τῆς Ἐγέρσεώς σου Ἰησοῦ Βασιλεῦ, μονογενὲς Λόγε τοῦ Πατρὸς, ὤφθης τοῖς Μαθηταῖς σου, κεκλεισμένων τῶν θυρῶν, τὴν εἰρήνην σου παρεχόμενος, καὶ τῷ ἀπιστοῦντι Μαθητῇ, τοὺς τύπους ἔδειξας· Δεῦρο ψηλάφησον τὰς χεῖρας, καὶ τοὺς πόδας, καὶ τὴν ἀκήρατόν μου πλευράν· ὁ δὲ πεισθεὶς ἐβόα σοι· Ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'. Κοσμᾶ Μοναχοῦ.

Αἱ Μυροφόροι γυναῖκες τὸν τάφον σου καταλαβοῦσαι, καὶ τὰς σφραγίδας τοῦ Μνήματος ἰδοῦσαι· μὴ εὑροῦσαι δὲ τὸ ἄχραντον Σῶμά σου, ὀδυρόμεναι μετὰ σπουδῆς ἦλθον λέγουσαι· Τίς ἔκλεψεν ἡμῶν τὴν ἐλπίδα; τίς εἴληφε νεκρὸν γυμνὸν ἐσμυρνισμένον, τῆς Μητρὸς μόνης παραμύθιον; ὢ πῶς ὁ νεκροὺς ζωώσας τεθανάτωται; ἀλλ' ἀνάστηθι Σωτὴρ αὐτεξουσίως, καθὼς εἶπας τριήμερος, σώζων τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν.

Ἦχος πλ. α.

Σὲ τὸν ἀναβαλλόμενον, τὸ φῶς ὥσπερ ἱμάτιον, καθελὼν Ἰωσὴφ ἀπὸ τοῦ Ξύλου, συν Νικοδήμῳ, καὶ θεωρήσας νεκρὸν γυμνὸν ἄταφον, εὐσυμπάθητον θρῆνον ἀναλαβὼν, ὀδυρόμενος ἔλεγεν· Οἴμοι γλυκύτατε Ἰησοῦ, ὃν πρὸ μικροῦ ὁ Ἥλιος, ἐν Σταυρῷ κρεμάμενον θεασάμενος, ζόφον περιεβάλλετο, καὶ ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο, καὶ διερρήγνυτο Ναοῦ τὸ καταπέτασμα· ἀλλ' ἰδοὺ νῦν βλέπω σε, δι' ἐμὲ ἑκουσίως ὑπελθόντα θάνατον· πῶς σε κηδεύσω Θεέ μου; ἢ πῶς σινδόσιν εἰλήσω; ποίαις χερσὶ δὲ προσψαύσω, τὸ σὸν ἀκήρατον σῶμα; ἢ ποῖα ᾄσματα μέλψω, τῇ σῇ ἐξόδῳ Οἰκτίρμον; μεγαλύνω τὰ

Πάθη σου· ὑμνολογῶ καὶ τὴν Ταφήν σου, σὺν τῇ Ἀναστάσει, κραυγάζων· Κύριε δόξα σοι.

Ἀπολυτίκιον. Ἦχος β'.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας, ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Δόξα Πατρί.

Ὁ Εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ Ξύλου καθελὼν, τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ, εἱλήσας, καὶ ἀρώμασιν, ἐν Μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Καὶ νῦν.

Ταῖς Μυροφόροις Γυναιξὶ, παρὰ τὸ μνῆμα ἐπιστὰς, ὁ Ἄγγελος ἐβόα· Τὰ μῦρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια· Χριστὸς δὲ διαφθορᾶς, ἐδείχθη ἀλλότριος.


Κοντάκιον Ἰδιόμελον Ἦχος β'.

Τὸ χαῖρε ταῖς Μυροφόροις φθεγξάμενος, τὸν θρῆνον τῆς προμήτορος Εὔας κατέπαυσας, τῇ Ἀναστάσει σου, Χριστὲ ὁ Θεός· τοῖς Ἀποστόλοις δὲ τοῖς σοῖς κηρύττειν ἐπέταξας· ὁ Σωτὴρ ἐξανέστη τοῦ μνήματος.

Εἰς τοὺς Αἴνους. Δόξα τὸ Ἑωθινόν.

Ἦχος β'.

Μετὰ μύρων προσελθούσαις, ταῖς περὶ τὴν Μαριὰμ γυναιξὶ, καὶ διαπορουμέναις, πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ, ὠράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος νεανίας καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς· Ἠγέρθη γάρ σου Ἰησοῦς ὁ Κύριος· διὸ κηρύξατε τοῖς κήρυξιν αὐτοῦ Μαθηταῖς, εἰς τὴν Γαλιλαίαν δραμεῖν, καὶ ὄψεσθαι αὐτὸν, ἀναστάντα ἐκ νεκρῶν, ὡς ζωοδότην καὶ Κύριον.



ΤΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΡΑΛΥΤΟΥ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. ά.

Ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἐπὶ τῇ προβατικῇ κολυμβήθρᾳ, τῇ λεγομένῃ κατὰ Ἰουδαίους Βηθεσδά, πέντε στοὰς ἐχούσῃ· ἐν ταύταις γὰρ κατέκειτο πλῆθος τῶν ἀσθενούντων. Ἄγγελος γὰρ τοῦ Θεοῦ κατὰ καιρὸν ἐπιφοιτῶν, διετάραττεν αὐτήν, καὶ ῥῶσιν ἐχαρίζετο τοῖς προσιοῦσιν ἐν πίστει· καὶ ἰδὼν ὁ Κύριος χρονίζοντα ἄνθρωπον, λέγει πρὸς αὐτόν· Θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἰατροῖς κατηνάλωσα τὸν ἅπαντά μου βίον, καὶ ἐλέους τυχεῖν οὐκ ἠξιώθην. Ἀλλ' ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων, λέγει πρὸς αὐτόν· ἆρόν σου τὸν κράββατον καὶ περιπάτει, κηρύττων μου τὴν δύναμιν, καὶ τὸ μέγα ἔλεος, ἐν τοῖς πέρασι.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος γ'.

Πῶς μὴ θαυμάσωμεν, τὸν Θεανδρικόν σου Τόκον πανσεβάσμιε; πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη Πανάμωμε, ἔτεκες ἀπάτορα Υἱὸν ἐν σαρκί, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα ἀμήτορα, μηδαμῶς ὑπομείναντα τροπήν, ἢ φυρμόν, ἢ διαίρεσιν, ἀλλ' ἑκατέρας οὐσίας τὴν ἰδιότητα σῶαν φυλάξαντα. Διὸ Μητροπάρθενε Δέσποινα, αὐτὸν ἱκέτευε σωθῆναι, τὰς ψυχὰς τῶν ὀρθοδόξως, Θεοτόκον ὁμολογούντων σε.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Ἐν τῇ Στοᾷ τοῦ Σολομῶντος, ἐκεῖ κατέκειτο πλῆθος τῶν ἀσθενούντων· καὶ μεσούσης τῆς Ἑορτῆς, εὗρεν ὁ Χριστὸς ὀκτὼ καὶ τριάκοντα ἐτῶν Παράλυτον κείμενον· δεσποτικῇ φωνῇ λέγει πρὸς αὐτόν· Θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ βάλῃ με εἰς τὴν κολυμβήθραν. Ὁ δὲ λέγει πρὸς αὐτόν· ἆρόν σου τὴν κλίνην· ἴδε ὑγιὴς γέγο-

νας, μηκέτι ἁμάρτανε. Τῆς Θεοτόκου πρεσβείαις Κύριε, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ἦχος πλ. ά.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα· εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς συγχωρήσωμεν, πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς Ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Ἀπολυτίκιον. Ἦχος γ'.

Εὐφραινέσθω τὰ Οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· ὁ Κύριος ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας Ἅδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἡ Παρθένος σήμερον. Ἦχος γ'.

Τὴν ψυχήν μου Κύριε, ἐν ἁμαρτίαις παντοίαις, καὶ ἀτόποις πράξεσι δεινῶς παραλελυμένην, ἔγειρον τῇ θεϊκῇ σου ἐπιστασίᾳ, ὥσπερ καὶ τὸν Παράλυτον, ἤγειρας πάλαι, ἵνα κράζω σεσωσμένος· Οἰκτίρμον δόξα, Χριστὲ τῷ κράτει σου.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Κύριε τὸν Παράλυτον οὐχ ἡ κολυμβήθρα ἐθεράπευσεν, ἀλλ' ὁ σὸς λόγος ἀνεκαίνισε· καὶ οὐδὲ ἡ πολυχρόνιος αὐτῷ ἐνεπόδισε νόσος, ὅτι τῆς φωνῆς σου ὀξυτέρα ἡ ἐνέργεια ἐδείχθη, καὶ τὸ δυσβάστακτον βάρος ἀπέῤῥιψε, καὶ τὸ φορτίον τῆς κλίνης ἐβάστασεν, εἰς μαρτύριον τοῦ πλήθους τῶν Οἰκτιρμῶν σου δόξα σοι.

ΤΗ͂Ι ΤΕΤΑΡΤΗ͂Ι ΤΗ͂Σ ΜΕΣΟΠΕΝΤΗΚΟΣΤΗ͂Σ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Τῆς Ἑορτῆς μεσούσης τῆς σῆς Χριστὲ Ἀναστάσεως, καὶ θείας παρουσίας τοῦ Ἁγίου σου Πνεύματος, συ-

νελθόντες τῶν θαυμάτων σου, ἀνυμνοῦμεν τὰ μυστήρια· ἐν ᾗ κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος πλ. δ΄.

Μεσούσης τῆς Ἑορτῆς, διδάσκοντός σου Σωτὴρ, ἔλεγον οἱ Ἰουδαῖοι· Πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς; ἀγνοοῦντες, ὅτι σὺ εἶ ἡ Σοφία, ἡ κατασκευάσασα τὸν Κόσμον, δόξα σοι.

Ἀπολυτίκιον. Ἦχος πλ. δ΄.

Μεσούσης τῆς Ἑορτῆς, διψῶσαν μου τὴν ψυχὴν, εὐσεβείας πότισον νάματα, ὅτι πᾶσι Σωτὴρ ἐβόησας· Ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω· ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεὸς δόξα σοι.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τῆς Ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων Ποιητὴς καὶ Δεσπότης, πρὸς τοὺς παρόντας ἔλεγες Χριστὲ ὁ Θεός· Δεῦτε καὶ ἀρύσασθε, ὕδωρ ἀθανασίας. Ὅθεν σοι προσπίπτομεν, καὶ πιστῶς ἐκβοῶμεν· Τοὺς Οἰκτιρμούς σου δώρησαι ἡμῖν· σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος δ΄.

Φωτισθέντες ἀδελφοὶ, τῇ Ἀναστάσει τοῦ Σωτῆρος Χριστοῦ, καὶ φθάσαντες τὸ μέσον τῆς Ἑορτῆς τῆς Δεσποτικῆς, γνησίως φυλάξωμεν τὰς ἐντολὰς τοῦ Θεοῦ, ἵνα ἄξιοι γενώμεθα, καὶ τὴν Ἀνάληψιν ἑορτάσαι, καὶ τῆς παρουσίας τυχεῖν τοῦ Ἁγίου Πνεύματος.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΣΑΜΑΡΕΙΤΙΔΟΣ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β΄.

Παρὰ τὸ φρέαρ τοῦ Ἰακὼβ, εὑρὼν ὁ Ἰησοῦς τὴν Σαμαρείτιδα, αἰτεῖ ὕδωρ παρ' αὐτῆς, ὁ νέφεσι καλύπτων τὴν γῆν. Ὢ τοῦ θαύματος! ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, πόρνῃ γυναικὶ διελέγετο· ὕδωρ αἰτῶν, ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας· ὕδωρ ζητῶν, ὁ πηγὰς καὶ

λίμνας ὑδάτων ἐκχέων· θέλων ἑλκύσαι ὄντως αὐτὴν, τὴν θηρευομένην ὑπὸ τοῦ πολεμήτορος ἐχθροῦ, καὶ ποτίσασθαι ὕδωρ ζῶν, τὴν φλεγομένην ἐν τοῖς ἀτοπήμασι δεινῶς, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος δ'.

Ὁ διὰ σὲ Θεοπάτωρ Προφήτης Δαβὶδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι· παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου· σὲ γὰρ Μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεὸς, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρὼν, πρόβατον τοῖς ὤμοις ἀναλαβὼν, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς Οὐρανίαις συνάψῃ Δυνάμεσι· καὶ σώσῃ Θεοτόκε τὸν Κόσμον· Χριστὸς, ὁ ἔχων τὸ μέγα, καὶ πλούσιον ἔλεος.

Ἀπολυτίκιον. Ἦχος. δ'.

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀποῤῥίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεὸς, δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Μεσούσης τῆς Ἑορτῆς, διδάσκοντός σου Σωτὴρ, ἔλεγον οἱ Ἰουδαῖοι· Πῶς οὗτος εἶδε γράμματα, μὴ μεμαθηκώς; ἀγνοοῦντες, ὅτι σὺ εἶ ἡ Σοφία, ἡ κατασκευάσασα τὸν Κόσμον, δόξα σοι.

Κοντάκιον. Ἦχος πλ. δ'.

Πίστει ἐλθοῦσα ἐν τῷ φρέατι, ἡ Σαμαρεῖτις ἐθεάσατο, τὸ τῆς σοφίας ὕδωρ σε, ᾧ ἐποτίσθη δαψιλῶς, καὶ Βασιλείαν τὴν ἄνωθεν κληρωσαμένη, αἰωνίως ὡς ἀοίδιμος.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. β'.

Ἡ πηγὴ τῆς ζωαρχίας, Ἰησοῦς ὁ Σωτὴρ ἡμῶν, ἐπὶ τὴν πηγὴν ἐπιστὰς τοῦ Πατριάρχου Ἰακὼβ, πιεῖν

ἐζήτει ὕδωρ παρὰ Γυναικὸς Σαμαρείτιδος· τῆς δὲ τὸ ἀκοινώνητον τῶν Ἰουδαίων προσειπούσης, ὁ σοφὸς Δημιουργὸς μετοχετεύει αὐτὴν, ταῖς γλυκέσι προσρήσεσι, μᾶλλον πρὸς αἴτησιν τοῦ ἀϊδίου ὕδατος· ὃ καὶ λαβοῦσα, τοῖς πᾶσιν ἐκήρυξεν εἰποῦσα· Δεῦτε ἴδετε τῶν κρυπτῶν γνώστην καὶ Θεὸν, παραγενόμενον σαρκὶ διὰ τὸ σῶσαι τὸν ἄνθρωπον.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΤΥΦΛΟΥ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. ά.

Κύριε παράγων ἐν τῇ ὁδῷ, εὗρες ἄνθρωπον τυφλὸν ἐκ γενετῆς, καὶ ἔκθαμβοι γεγονότες οἱ Μαθηταὶ, ἐπηρώτων σε, λέγοντες· Διδάσκαλε, τίς ἥμαρτεν, οὗτος, ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; σὺ δὲ Σωτήρ μου ἐβόας αὐτοῖς· Οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ· ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με, ἃ οὐδεὶς δύναται ἐργάζεσθαι· καὶ ταῦτα εἰπὼν, πτύσας χαμαὶ, καὶ πηλὸν ποιήσας, ἐπέχρισας τοὺς ὀφθαλμοὺς αὐτοῦ, λέξας πρὸς αὐτόν· Ὕπαγε νίψαι εἰς τοῦ Σιλωὰμ τὴν κολυμβήθραν· ὁ δὲ νιψάμενος ὑγιὴς ἐγένετο, καὶ ἐβόα πρὸς σέ· Πιστεύω Κύριε, καὶ προσεκύνησέ σοι. Διὸ βοῶμεν καὶ ἡμεῖς· ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, τῆς Ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ· ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος· τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραὴλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν, ἀσπόρως ἡ Παρθένος· ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ, ἔμεινεν ἄβατος· ἡ Ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουὴλ, ἔμεινεν ἄφθορος. Ὁ ὢν καὶ προὼν, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. δ'.

Δικαιοσύνης Ἥλιε, νοητὲ Χριστὲ ὁ Θεὸς, ὁ τὸν ἐκ μήτρας τοῦ φωτὸς ἐστερημένον, διὰ τῆς σῆς ἀχράντου προσψαύσεως, φωτίσας κατ' ἄμφω, καὶ ἡμῶν τὰ ὄμματα τῶν ψυχῶν αὐγάσας, Υἱοὺς ἡμέρας δεῖξον, ἵνα πίστει βοῶμέν σοι· Πολλή σου, καὶ ἄφατος ἡ εἰς ἡμᾶς εὐσπλαγχνία, φιλάνθρωπε δόξα σοι.

Ἀπολυτίκιον. Ἦχος πλ. ά.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ, καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκὶ, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῆς ψυχῆς τὰ ὄμματα πεπηρωμένος, σοὶ Χριστὲ προσέρχομαι, ὡς ὁ Τυφλὸς ἐκ γενετῆς, ἐν μετανοίᾳ κραυγάζων σοι· Σὺ τῶν ἐν σκότει, τὸ φῶς τὸ ὑπέρλαμπρον.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Τίς λαλήσει τὰς δυναστείας σου Χριστέ; ἢ τίς ἐξαριθμήσει τῶν θαυμάτων σου τὰ πλήθη; διπλοῦς γὰρ ὡς ὡράθης ἐπὶ γῆς δι' ἀγαθότητα, διπλᾶς καὶ τὰς ἰάσεις τοῖς νοσοῦσιν ἐχορήγεις· οὐ μόνον γὰρ τοῦ σώματος ὀφθαλμοὺς διήνοιξας τοῦ ἀπὸ μήτρας πηρωθέντος, ἀλλὰ καὶ τοὺς τῆς ψυχῆς· ὅθεν Θεόν σε ὡμολόγει τὸν κρυπτόμενον, καὶ πᾶσι παρέχοντα τὸ μέγα ἔλεος.

ΤΗ ΠΕΜΠΤΗ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Τῶν κόλπων τῶν Πατρικῶν μὴ χωρισθεὶς, γλυκύτατε Ἰησοῦ, καὶ τοῖς ἐπὶ γῆς ὡς ἄνθρωπος συναναστραφεὶς, σήμερον ἐπ' ὄρους τῶν Ἐλαιῶν ἀνελήφθης ἐν δόξῃ· καὶ τὴν πεσοῦσαν φύσιν ἡμῶν συμπαθῶς ἀνυψώσας, ἐν

Πατρὶ συνεκάθισας· Ὅθεν αἱ Οὐρανίαι τῶν Ἀσωμάτων τάξεις τὸ θαῦμα ἐκπληττόμεναι, ἐξίσταντο θάμβει, καὶ τρόμῳ συνεχόμεναι τὴν σὴν φιλανθρωπίαν ἐμεγάλυνον· μεθ' ὧν καὶ ἡμεῖς οἱ ἐπὶ γῆς, τὴν πρὸς ἡμᾶς σου συγκατάβασιν, καὶ τὴν ἀφ' ἡμῶν Ἀνάληψιν, δοξολογοῦντες ἱκετεύομεν, λέγοντες· Ὁ τοὺς Μαθητὰς καὶ τὴν τεκοῦσάν σε Θεοτόκον, χαρᾶς ἀπείρου πλήσας ἐν τῇ σῇ Ἀναλήψει, καὶ ἡμᾶς ἀξίωσον τῶν ἐκλεκτῶν σου τῆς χαρᾶς, εὐχαῖς αὐτῶν, διὰ τὸ μέγα σου ἔλεος.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν.

Ἦχος πλ. β'.

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, τοῦ ἀνυψῶσαι τὴν πεσοῦσαν εἰκόνα τοῦ Ἀδάμ, καὶ ἀποστεῖλαι Πνεῦμα Παράκλητον, τοῦ ἁγιάσαι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μηθητὰς τῇ ἐπαγγελίᾳ τοῦ Ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ Κόσμου.

Κοντάκιον. Ἰδιόμελον. Ἦχος πλ. β'.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας Οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε· Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος ά.

Ἐτέχθης ὡς αὐτὸς ἠθέλησας, ἐφάνης ὡς αὐτὸς ἠθουλήθης· ἔπαθες σαρκὶ ὁ Θεὸς ἡμῶν, ἐκ νεκρῶν ἀνέστης, πατήσας τὸν θάνατον· ἀνελήφθης ἐν δόξῃ, ὁ τὰ σύμπαντα πληρῶν· καὶ ἀπέστειλας ἡμῖν Πνεῦμα θεῖον, τοῦ ἀνυμνεῖν καὶ δοξάζειν σου τὴν Θεότητα.

Τῌ ΚΥΡΙΑΚῌ

Τῶν Ἁγίων τιή. Θεοφόρων Πατέρων τῶν ἐν Νικαίᾳ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Τὰς μυστικὰς σήμερον τοῦ Πνεύματος σάλπιγγας, τοὺς Θεοφόρους Πατέρας ἀνευφημήσωμεν, τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς Ἐκκλησίας, μέλος ἐναρμόνιον Θεολογίας, Τριάδα μίαν ἀπαράλλακτον, οὐσίαν τε καὶ Θεότητα· τοὺς καθαιρέτας Ἀρείου, καὶ Ὀρθοδόξων προμάχους, τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος δ'.

Τὴν ἐτήσιον μνήμην σήμερον, τῶν Θεοφόρων Πατέρων, τῶν ἐκ πάσης τῆς Οἰκουμένης συναθροισθέντων, ἐν τῇ λαμπρᾷ Πόλει Νικαέων, τῶν Ὀρθοδόξων τὰ συστήματα, εὐσεβοῦντες πιστῶς ἑορτάσωμεν· οὗτοι γὰρ τοῦ δεινοῦ Ἀρείου τὸ ἄθεον δόγμα, εὐσεβοφρόνως καθεῖλον, καὶ τῆς Καθολικῆς Ἐκκλησίας, συνοδικῶς τοῦτον ἐξωστράκισαν· καὶ τρανῶς τὸν Υἱὸν τοῦ Θεοῦ, ὁμοούσιον καὶ συναΐδιον, πρὸ τῶν αἰώνων ὄντα, τοῖς πᾶσιν ἐδίδαξαν ὁμολογεῖν, ἐν τῷ τῇ Πίστεως συμβόλῳ, ἀκριβῶς καὶ εὐσεβῶς τοῦτο ἐκθέμενοι· ὅθεν καὶ ἡμεῖς τοῖς θείοις αὐτῶν δόγμασιν ἑπόμενοι, βεβαίως πιστεύοντες, λατρεύομεν σὺν Πατρὶ τὸν Υἱόν, καὶ τὸ Πνεῦμα τὸ Παναγιον, ἐν μιᾷ Θεότητι, Τριάδα ὁμοούσιον.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Κύριε τὸ μυστήριον τὸ ἀπὸ τῶν αἰώνων κεκρυμμένον, καὶ ἀπὸ γενεῶν πληρώσας ὡς ἀγαθός, ἦλθες μετὰ τῶν Μαθητῶν σου ἐν τῷ ὄρει τῶν Ἐλαιῶν, ἔχων τὴν Τεκοῦσάν σε τὸν ποιητὴν καὶ πάντων δημιουργόν· τὴν γὰρ ἐν τῷ Πάθει σου μητρικῶς πάντων ὑπεραλγήσασαν, ἔδει καὶ τῇ δόξῃ τῆς σαρκός σου ὑπερβαλλούσης ἀπολαῦσαι

χαρᾶς· ἧς καὶ ἡμεῖς μετασχόντες τῇ εἰς Οὐρανοὺς ἀνόδῳ σου Δέσποτα, τὸ μέγα σου ἔλεος, τὸ εἰς ἡμᾶς γεγονὸς δοξάζομεν.

Ἀπολυτίκιον. Ἦχος πλ. β'.

Ἀγγελικαὶ Δυνάμεις ἐπὶ τὸ Μνῆμά σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου Σῶμα· ἐσκύλευσας τὸν Ἅδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ, ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος την ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν Κύριε δόξα σοι.

Δόξα, τῶν Ἁγίων Πατέρων. Ἦχος πλ. δ'.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν Πίστιν πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε δόξα σοι.

Καὶ νῦν, τῆς Ἑορτῆς. Ἦχος δ'.

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητὰς τῇ ἐπαγγελίᾳ τοῦ Ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ Κόσμου.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τῶν Ἀποστόλων τὸ κήρυγμα, καὶ τῶν Πατέρων τὰ δόγματα, τῇ Ἐκκλησίᾳ μίαν τὴν Πίστιν ἐκράτυνεν· ἣ καὶ χιτῶνα φοροῦσα τῆς ἀληθείας, τὸν ὑφαντὸν ἐκ τῆς ἄνω Θεολογίας, ὀρθοτομεῖ, καὶ δοξάζει, τῆς εὐσεβείας τὸ μέγα Μυστήριον.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Τῶν ἁγίων Πατέρων ὁ χορός, ἐκ τῶν τῆς Οἰκουμένης περάτων συνδραμών, Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου, μίαν οὐσίαν ἐδογμάτισε καὶ φύσιν, καὶ τὸ Μυστήριον τῆς Θεολογίας, τρανῶς παρέδωκε τῇ Ἐκκλησίᾳ· οὓς εὐφημοῦντες ἐν πίστει μακαρίσωμεν, λέγοντες· Ὢ θεία παρεμβολή, θεηγόροι ὁπλῖται, παρατάξεως Κυρίου, ἀστέρες πολύφωτοι τοῦ νοητοῦ στερεώματος, τῆς μυστικῆς

Σιὼν οἱ ἀκαθαίρετοι πύργοι, τὰ μυρίπνοα ἄνθη τοῦ Παραδείσου, τὰ πάγχρυσα στόματα τοῦ Λόγου, Ἐκκλησίας τὸ καύχημα, Οἰκουμένης ἀγλαΐσμα, ἐκτενῶς πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΤΩ ΣΑΒΒΑΤΩ ΠΡΟ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Μνήμη τῶν ἀπ' αἰῶνος Κεκοιμημένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. δ'.

Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ' εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος. Ὢ τοῦ θαύματος! τί τὸ περὶ ἡμᾶς, τοῦτο γέγονε Μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ; πῶς συνεζεύχθημεν τῷ θανάτῳ; ὄντως Θεοῦ προστάξει ὡς γέγραπται, τοῦ παρέχοντος τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος πλ. β'.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς Μονογενὴς, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθεὶς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β'.

Ἀρχή μοι, καὶ ὑπόστασις, τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε καὶ ὁρατῆς με ζῶον συμπῆξαι φύσεως, γῆθέν μου τὸ σῶμα διέπλασας· δέδωκας δέ μοι ψυχὴν, τῇ θείᾳ σου, καὶ ζωοποιῷ ἐμπνεύσει· Διὸ Σωτὴρ τοὺς δούλους σου ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων ἀνάπαυσον.

Καὶ νῦν. Θεοτοκίον.

Πρεσβείαις τῆς Τεκούσης σε, Χριστὲ καὶ τῶν Μαρτύρων σου, Ἀποστόλων, Προφητῶν, Ἱεραρχῶν, Ὁσίων καὶ Δικαίων, καὶ πάντων τῶν Ἁγίων, τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον.

Ἀπολυτίκιον. Ἦχος πλ. δʹ.

Ὁ βάθει Σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων μόνε Δημιουργέ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου· ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ Ποιητῇ καὶ Πλάστῃ καὶ Θεῷ ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Σὲ καὶ τεῖχος, καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεὸν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ Σωτηρία.

Κοντάκιον. Ἦχος πλ. δʹ.

Τοὺς μεταστάντας ἀφ' ἡμῶν ἐκ τῶν προσκαίρων, ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν κατασκήνωσον, καὶ μετὰ δικαίων ἀνάπαυσον, Σῶτερ ἀθάνατε· εἰ γὰρ ὡς ἄνθρωποι ἥμαρτον ἐπὶ γῆς, ἀλλὰ σὺ ὡς ἀναμάρτητος Κύριος, ἄφες αὐτοῖς τὰ ἑκούσια πταίσματα, καὶ τὰ ἀκούσια, μεσιτευούσης τῆς τεκούσης σε Θεοτόκου· ἵνα συμφώνως βοήσωμεν ὑπὲρ αὐτῶν· Ἀλληλούϊα.

Εἰς τοὺς Αἴνους. Δόξα. Νεκρώσιμον. Ἦχος βʹ.

Ὡς ἄνθος μαραίνεται, καὶ ὡς ὄναρ παρέρχεται, καὶ διαλύεται πᾶς ἄνθρωπος· πάλιν δὲ ἠχούσης τῆς σάλπιγγος, νεκροὶ ὡς ἐν συσσεισμῷ πάντες ἀναστήσονται, πρὸς τὴν σὴν ὑπάντησιν Χριστὲ ὁ Θεός· τότε Δέσποτα, οὓς μετέστησας ἐξ ἡμῶν, ἐν ταῖς τῶν Ἁγίων σου κατάταξον σκηναῖς, τὰ πνεύματα Δέσποτα τῶν σῶν δούλων ἀεί.

Εἰς τὸν Στίχον τῶν Αἴνων Δόξα. Ἦχος πλ. βʹ.

Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν ἡ τοῦ ξύλου ἀπόγευσις, πάλαι ἐν Ἐδὲμ, ὅτε ὄφις ἰὸν ἐξηρεύξατο· δι' αὐτοῦ

γὰρ εἰσῆλθεν ὁ θάνατος. παγγενῆ κατεσθίων τὸν ἄνθρωπον· ἀλλ' ἐλθὼν ὁ Δεσπότης, καθεῖλε τὸν δράκοντα, καὶ ἀνάπαυσιν ἡμῖν ἐδωρήσατο. Πρὸς αὐτὸν οὖν βοήσωμεν· Φεῖσαι Σωτὴρ, καὶ οὓς προσελάβου, μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον.

Καὶ νῦν. Θεοτοκίον. Ὅλην ἀποθέμενοι.

Ὤφθης ἐνδιαίτημα, θεοπρεπὲς Παναγία, καὶ Θεὸν ἐχώρησας, καὶ Θεὸν ἐγέννησας ἀπειρόγαμε, τὸν βροτοῖς ὁρώμενον, ἐν δυσὶν οὐσίαις, ἐν μιᾷ δὲ ὑποστάσει Ἁγνή· αὐτὸν δυσώπησον, τὸν μονογενῆ καὶ πρωτότοκον, τὸν σὲ Παρθένον ἄμωμον, καὶ μετὰ τὸν τόκον φυλάξαντα, ψυχὰς ἀναπαῦσαι, τῶν πίστει κοιμηθέντων ἐν φωτὶ ἐν ἀκηράτῳ φαιδρότητι, καὶ μακαριότητι.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΓΙΑΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Λέοντος Δεσπότου. Ἦχος πλ. δ'.

Δεῦτε λαοὶ, τὴν τρισυπόστατον Θεότητα προσκυνήσωμεν, Υἱὸν ἐν τῷ Πατρὶ σὺν Ἁγίῳ Πνεύματι. Πατὴρ γὰρ ἀχρόνως ἐγέννησεν Υἱὸν συναΐδιον καὶ σύνθρονον, καὶ Πνεῦμα Ἅγιον ἦν εν τῷ Πατρὶ σὺν Υἱῷ δοξαζόμενον· μία Δύναμις, μία Οὐσία, μία Θεότης, ἣν προσκυνοῦντες παντες λέγομεν· Ἅγιος ὁ Θεὸς, ὁ τὰ πάντα δημιουργήσας δι' Υἱοῦ, συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Ἅγιος ἰσχυρὸς, δι' οὗ τὸν Πατερα ἐγνώκαμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεδήμησεν εν Κόσμῳ. Ἅγιος ἀθάνατος, τὸ Παράκλητον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον. Τριὰς Ἁγία δόξα σοι.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Γλῶσσαι ποτὲ συνεχέθησαν, διὰ τὴν τόλμαν τῆς πυργοποιΐας· γλῶσσαι δὲ νῦν ἐσοφίσθησαν, διὰ τὴν δόξαν τῆς Θεογνωσίας· ἐκεῖ κατεδίκασε τοὺς ἀσεβεῖς τῷ

παίσματι· ἐνταῦθα ἐφώτισε Χριστὸς τοὺς Ἁλιεῖς τῷ Πνεύματι· τότε κατηργήθη ἡ ἀφωνία πρὸς τιμωρίαν· ἄρτι καινουργεῖται ἡ συμφωνία, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς Ἁλιεῖς ἀναδείξας καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι' αὐτῶν τὴν Οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε δόξα σοι.

Κοντάκιον. Ἦχος πλ. δ'.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν Ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε· καὶ συμφώνως δοξάζομεν τὸ Πανάγιον Πνεῦμα.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος ά.

Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλίδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΓΙΑΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλίδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Δεῦτε λαοί, τὴν τρισυπόστατον Θεότητα προσκυνήσωμεν, Υἱὸν ἐν τῷ Πατρὶ σὺν Ἁγίῳ Πνεύματι. Πατὴρ γὰρ ἀχρόνως ἐγέννησεν Υἱὸν συναΐδιον καὶ σύνθρο-

νον, καὶ Πνεῦμα Ἅγιον ἦν ἐν τῷ Πατρὶ σὺν Υἱῷ δοξαζόμενον· μία Δύναμις, μία Οὐσία, μία Θεότης, ἣν προσκυνοῦντες πάντες λέγομεν· Ἅγιος ὁ Θεὸς, ὁ τὰ πάντα δημιουργήσας δι' Υἱοῦ, συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Ἅγιος ἰσχυρὸς, δι' οὗ τὸν Πατέρα ἐγνώκαμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεδήμησεν ἐν Κόσμῳ. Ἅγιος ἀθάνατος, τὸ Παράκλητον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον. Τριὰς Ἁγία δόξα σοι.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς Ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι' αὐτῶν τὴν Οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε δόξα σοι.

Κοντάκιον. Ἦχος πλ. δ'.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν Ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντα ἐκάλεσε· καὶ συμφώνως, δοξάζομεν τὸ Πανάγιον Πνεῦμα.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. δ'.

Γλῶσσαι ποτὲ συνεχέθησαν, διὰ τὴν τόλμαν τῆς πυργοποιΐας· γλῶσσαι δὲ νῦν ἐσοφίσθησαν, διὰ τὴν δόξαν τῆς Θεογνωσίας· ἐκεῖ κατεδίκασε τοὺς ἀσεβεῖς τῷ πταίσματι· ἐνταῦθα ἐφώτισε Χριστὸς τοὺς Ἁλιεῖς τῷ Πνεύματι· τότε κατηργήθη ἡ ἀφωνία πρὸς τιμωρίαν· ἄρτι καινουργεῖται ἡ συμφωνία, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

ΤΗ ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα, καὶ νῦν. Ἦχος ά.

Πεντηκοστὴν ἑορτάζομεν, καὶ Πνεύματος ἐπιδημίαν, καὶ προθεσμίαν ἐπαγγελίας, καὶ ἐλπίδος συμπλήρωσιν,

καὶ τὸ Μυστήριον ὅσον, ὡς μέγα τε καὶ σεβάσμιον. Διὸ βοῶμέν σοι· Δημιουργὲ τοῦ παντὸς, Κύριε δόξα σοι.

Εἰς τὸν Στίχον. Δόξα, καὶ νῦν. Ἦχος ά.

Γλώσσαις ἀλλογενῶν ἐκαινούργησας Χριστὲ τοὺς σοὺς Μαθητάς· ἵνα δι' αὐτῶν σε κηρύξωσι τὸν ἀθάνατον Λόγον καὶ Θεὸν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς Ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι' αὐτῶν τὴν Οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε δόξα σοι.

Κοντάκιον. Ἦχος πλ. δ'.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν Ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε· καὶ συμφώνως δοξάζομεν τὸ Πανάγιον Πνεῦμα.

Εἰς τοὺς Αἴνους. Δόξα, καὶ νῦν. Ἦχος ά.

Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ Ἅγιον· βρύει Προφητείας, Ἱερέας τελειοῖ· ἀγραμμάτους Σοφίαν ἐδίδαξεν, Ἁλιεῖς Θεολόγους ἀνέδειξεν· ὅλον συγκροτεῖ τὸν θεσμὸν τῆς Ἐκκλησίας· ὁμοούσιε καὶ ὁμόθρονε τῷ Πατρὶ καὶ τῷ Υἱῷ, Παράκλητε δόξα σοι.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Δόξα. Ἦχος πλ. β'.

Μαρτύρων θεῖος χορὸς, τῆς Ἐκκλησίας ἡ βάσις, τοῦ Εὐαγγελίου ἡ τελείωσις, ὑμεῖς ἔργῳ τοῦ Σωτῆρος τὰ ῥητὰ ἐπληρώσατε· ἐν ὑμῖν γὰρ αἱ πύλαι τοῦ Ἅδου, κατὰ τῆς Ἐκκλησίας ἀνεῳχθεῖσαι ἐκλείσθησαν· ἡ τοῦ αἵματος ὑμῶν χύσις, τὰς εἰδωλικὰς σπονδὰς ἐξήρανεν·

ἡ σφαγὴ ὑμῶν ἀπέτεκε τῶν Πιστῶν τὸ πλήρωμα· τοὺς Ἀσωμάτους ἐξεπλήξατε· τῷ Θεῷ στεφανηφόροι παρίςασθε· ὃν ἀπαύστως πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. β΄.

Δεῦτε πιστοὶ, σήμερον χορείαν ἐπικροτήσαντες, εὐσεβῶς πανηγυρίσωμεν· καὶ τῶν Ἁγίων Πάντων τὴν ἔνδοξον, καὶ σεβάσμιον μνήμην, ἐνδόξως τιμήσωμεν λέγοντες· Χαίρετε Ἀπόστολοι ἔνδοξοι, Προφῆται καὶ Μάρτυρες καὶ Ἱεράρχαι· χαίρετε Ὁσίων ὁ δῆμος καὶ τῶν Δικαίων· χαίρετε τιμίων Γυναικῶν ὁ χορός· καὶ Χριστὸν ὑπὲρ τοῦ Κόσμου πρεσβεύσατε, νίκας τῷ Βασιλεῖ κατὰ Βαρβάρων δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος πλ. δ΄.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον· ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν· ἡ ζωὴ καὶ ἡ Ἀνάστασις ἡμῶν, Κύριε δόξα σοι.

Δόξα, τῶν Ἁγίων. Ἦχος δ΄.

Τῶν ἐν ὅλῳ τῷ Κόσμῳ Μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι Χριςὲ ὁ Θεός· Τῷ Λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς Κτίσεως, ἡ Οἰκουμένη προσφέρει σοι Κύριε, τοὺς Θεοφόρους Μάρτυρας· ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ, τὴν Ἐκκλησίαν σου, τῇ πολιτείᾳ σου, διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε.

Εἰς τοὺς Αἴνους. Δόξα. Ἑωθινὸν Α΄. Ἦχος α΄.

Εἰς τὸ Ὄρος τοῖς Μαθηταῖς ἐπειγομένοις, διὰ τὴν χαμόθεν ἔπαρσιν ἐπέστη ὁ Κύριος· καὶ προσκυνήσαντες αὐτὸν, καὶ τὴν δοθεῖσαν ἐξουσίαν πανταχοῦ διδαχθέντες, εἰς τὴν ὑπ᾽ Οὐρανὸν ἐξαπεστέλλοντο, κηρύξαι τὴν ἐκ νεκρῶν Ἀνάστασιν, καὶ τὴν εἰς Οὐρανοὺς ἀποκατάστασιν· οἷς καὶ συνδιαιωνίζειν, ὁ ἀψευδὴς ἐπηγγείλατο, Χριστὸς ὁ Θεὸς, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.



ΔΟΞΑΣΤΙΚΑ

ΑΝΑΣΤΑΣΙΜΑ

ΤΗΣ ΟΚΤΩΗΧΟΥ.

Δόξα, καὶ νῦν. Ἦχος ά.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα. Αὕτη γὰρ ἀνεδείχθη Οὐρανὸς, καὶ Ναὸς τῆς Θεότητος. Αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ Βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες τῆς Πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω Λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς, ὡς παντοδύναμος.

Τροπάριον.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος Σωτὴρ, δωρούμενος τῷ Κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν Οὐρανῶν, ἐβόων σοι ζωοδότα· Δόξα τῇ Ἀναστάσει σου Χριστὲ, δόξα τῇ Βασιλείᾳ σου, δόξα τῇ Οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε· σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβὶδ, ἐδείχθης πλατυτέρα τῶν Οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ Τόκου σου.

Ἡ Ὑπακοή.

Ἡ τοῦ Λῃστοῦ μετάνοια τὸν Παράδεισον ἐσύλησεν· ὁ δὲ θρῆνος τῶν Μυροφόρων τὴν χαρὰν ἐμήνυσεν, ὅτι ἀνέστης Χριστὲ ὁ Θεὸς, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας· ἀντὶ στύλου πυρὸς, δικαιοσύνης ἀνέτειλεν Ἥλιος· ἀντὶ Μωϋσέως Χριστὸς, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τροπάριον.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ Θεοτόκε Μυστήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ Παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδὴς, Θεὸν τεκοῦσα ἀληθινόν. Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἡ Ὑπακοή.

Μετὰ τὸ Πάθος πορευθεῖσαι ἐν τῷ μνήματι, πρὸς τὸ μυρίσαι τὸ Σῶμά σου αἱ Γυναῖκες, Χριστὲ ὁ Θεὸς, εἶδον Ἀγγέλους ἐν τῷ τάφῳ, καὶ ἐξέστησαν· φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν, ὅτι ἀνέστη ὁ Κύριος, δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος γ'.

Πῶς μὴ θαυμάσωμεν, τὸν Θεανδρικόν σου Τόκον πανσεβάσμιε; πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη Πανάμωμε, ἔτεκες ἀπάτορα Υἱὸν ἐν σαρκὶ, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα ἀμήτορα, μηδαμῶς ὑπομείναντα τροπὴν, ἢ φυρμὸν, ἢ διαίρεσιν, ἀλλ' ἑκατέρας οὐσίας τὴν

ἰδιότητα σῴαν φυλάξαντα. Διὸ Μητροπάρθενε Δέσποινα, αὐτὸν ἱκέτευε σωθῆναι, τὰς ψυχὰς τῶν ὀρθοδόξως, Θεοτόκον ὁμολογούντων σε.

Τροπάριον.

Εὐφραινέσθω τὰ Οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· ὁ Κύριος ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον. Πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας Ἄδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος Πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Ἡ Ὑπακοή.

Ἐκπλήττων τῇ ὁράσει, δροσίζων τοῖς ῥήμασιν, ὁ ἀστράπτων Ἄγγελος, ταῖς Μυροφόροις ἔλεγε· Τὸν ζῶντα τί ζητεῖτε ἐν μνήματι; ἠγέρθη, κενώσας τὰ μνήματα· τῆς φθορᾶς ἀλλοιωτὴν, γνῶτε τὸν ἀναλλοίωτον· εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου, ὅτι τὸ γένος ἔσωσας τῶν ἀνθρώπων.

Δόξα, καὶ νῦν.

Ἦχος δ'.

Ὁ διὰ σὲ Θεοπάτωρ Προφήτης Δαβὶδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι· παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου· σὲ γὰρ Μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεὸς, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρὼν, πρόβατον τοῖς ὤμοις ἀναλαβὼν, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς Οὐρανίαις συνάψῃ Δυνάμεσι· καὶ σώσῃ Θεοτόκε τὸν Κόσμον. Χριστὸς, ὁ ἔχων τὸ μέγα, καὶ πλούσιον ἔλεος.

Τροπάριον.

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀποῤῥίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ Θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεὸς, δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται. Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ἡ Ὑπακοή.

Τὰ τῆς σῆς παραδόξου Ἐγέρσεως, προδραμοῦσαι αἱ Μυροφόροι, τοῖς Ἀποστόλοις ἐκήρυττον Χριστὲ, ὅτι ἀνέστης ὡς Θεὸς, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α᾽.

Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, τῆς Ἀπειρογάμου Νύμφης Εἰκὼν διεγράφη ποτέ· ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος· τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραὴλ, νῦν δὲ τὸ Χριστὸν ἐγέννησεν, ἀσπόρως ἡ Παρθένος. Ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ, ἔμεινεν ἄβατος· ἡ Ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουὴλ, ἔμεινεν ἄφθορος. Ὁ ὢν καὶ προὼν, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Τροπάριον.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ, καὶ προσκυνήσωμεν, ὅτι ηὐδόκησε σαρκὶ, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε

λιμὴν, καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκὶ, τὸν Ποιητήν σου καὶ Θεὸν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

Ἡ Ὑπακοή.

Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι, καὶ θεϊκῇ Ἐγέρσει τὴν ψυχὴν φωτιζόμεναι, αἱ Μυροφόροι τοῖς Ἀποστόλοις εὐηγγελίζοντο· ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν Ἀνάστασιν τοῦ Κυρίου, συνεργοῦντος τοῖς θαύμασι, καὶ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς Μονογενὴς, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθεὶς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος· ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τροπάριον.

Ἀγγελικαὶ Δυνάμεις ἐπὶ τὸ Μνῆμά σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου Σῶμα· ἐσκύλευσας τὸν Ἅδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ, ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν Κύριε δόξα σοι.

Θεοτοκίον.

Ὁ τὴν εὐλογημένην καλέσας σου Μητέρα, ἦλθες ἐπὶ τὸ Πάθος ἑκουσίᾳ βουλῇ, λάμψας ἐν τῷ Σταυρῷ, ἀναζητῆσαι θέλων τὸν Ἀδὰμ, λέγων τοῖς Ἀγγέλοις· Συγχάρητέ μοι ὅτι εὑρέθη ἡ ἀπολλυμένη δραχμή. Ὁ πάντα σοφῶς οἰκονομήσας δόξα σοι.

Ἡ Ὑπακοή.

Τῷ ἑκουσίῳ καὶ ζωοποιῷ σου θανάτῳ Χριστὲ, πύλας τοῦ Ἅδου συντρίψας ὡς Θεὸς, ἤνοιξας ἡμῖν τὸν πάλαι

Παράδεισον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐῤῥύσω ἐκ φθορᾶς τὴν ζωήν.

Δόξα, καὶ νῦν.

Ἦχος βαρύς.

Μήτηρ μὲν ἐγνώσθης ὑπὲρ φύσιν Θεοτόκε, ἔμεινας δὲ Παρθένος ὑπὲρ λόγον, καὶ ἔννοιαν· καὶ τὸ θαῦμα τοῦ Τόκου σου, ἑρμηνεῦσαι γλῶσσα οὐ δύναται· παραδόξου γὰρ οὔσης τῆς Συλλήψεως Ἁγνή, ἀκατάληπτός ἐστιν ὁ τρόπος τῆς Κυήσεως· ὅπου γὰρ βούλεται Θεός, νικᾶται φύσεως τάξις. Διό σε πάντες Μητέρα τοῦ Θεοῦ γινώσκοντες, δεόμεθά σου ἐκτενῶς, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τροπάριον.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον, ἠνέῳξας τῷ Λῃστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας, ὅτε ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Ὡς τῆς ἡμῶν Ἀναστάσεως θησαύρισμα, τοὺς ἐπὶ σοὶ πεποιθότας Πανύμνητε, ἐκ λάκκου καὶ βυθοῦ πταισμάτων ἀνάγαγε· σὺ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ ἔσωσας, τεκοῦσα τὴν Σωτηρίαν· ἡ πρὸ τόκου Παρθένος, καὶ ἐν τόκῳ Παρθένος, καὶ μετὰ τόκον πάλιν μένεις Παρθένος.

Ἡ Ὑπακοή.

Ὁ ἡμετέραν μορφὴν ἀναλαβών, καὶ ὑπομείνας Σταυρὸν σωματικῶς, σῶσόν με τῇ Ἀναστάσει σου, Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Ὁ Βασιλεὺς τῶν Οὐρανῶν διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως· εἷς ἐστιν Υἱὸς δι-

πλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν. Διὸ τέλειον αὐτὸν Θεὸν, καὶ τέλειον Ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε Μήτηρ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τροπάριον.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν, ἡ Ζωὴ, καὶ ἡ Ἀνάστασις ἡμῶν, Κύριε δόξα σοι.

Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ Σταύρωσιν ὑπομείνας Ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ Ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου. Δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, Λαὸν ἀπεγνωσμένον.

Ἡ Ὑπακοή.

Αἱ Μυροφόροι τοῦ Ζωοδότου ἐπιστᾶσαι τῷ Μνήματι, τὸν Δεσπότην ἐζήτουν ἐν νεκροῖς τὸν ἀθάνατον· καὶ χαρᾶς εὐαγγέλια ἐκ τοῦ Ἀγγέλου δεξάμεναι, τοῖς Ἀποστόλοις ἐμήνυον, ὅτι ἀνέστη Χριστὸς ὁ Θεὸς, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.



ΤΑ ΕΝΔΕΚΑ ΕΩΘΙΝΑ.

Ἑωθινὸν Α'. Ἦχος α'.

Εἰς τὸ ὄρος τοῖς Μαθηταῖς ἐπειγομένοις, διὰ τὴν χαμόθεν ἔπαρσιν ἐπέστη ὁ Κύριος· καὶ προσκυνήσαντες αὐτὸν, καὶ τὴν δοθεῖσαν ἐξουσίαν πανταχοῦ διδαχθέντες, εἰς τὴν ὑπ' Οὐρανὸν ἐξαπεστέλλοντο, κηρύξαι τὴν ἐκ νεκρῶν Ἀνάστασιν, καὶ τὴν εἰς Οὐρανοὺς ἀποκατάστασιν· αἷς καὶ συνδιαιωνίζειν, ὁ ἀψευδὴς ἐπηγγείλατο, Χριστὸς ὁ Θεὸς, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἑωθινὸν Β'. Ἦχος β'.

Μετὰ μύρων προσελθούσαις, ταῖς περὶ τὴν Μαριὰμ Γυναιξὶ, καὶ διαπορουμέναις, πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ, ὡράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος Νεανίας, καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς· Ἠγέρθη γάρ φησιν, Ἰησοῦς ὁ Κύριος· διὸ κηρύξατε τοῖς Κήρυξιν αὐτοῦ Μαθηταῖς, εἰς τὴν Γαλιλαίαν δραμεῖν· καὶ ὄψεσθε αὐτὸν, ἀναστάντα ἐκ νεκρῶν, ὡς Ζωοδότην καὶ Κύριον.

Ἑωθινὸν Γ'. Ἦχος γ'.

Τῆς Μαγδαληνῆς Μαρίας, τὴν τοῦ Σωτῆρος εὐαγγελιζομένης, ἐκ νεκρῶν Ἀνάστασιν καὶ ἐμφάνειαν, διαπιστοῦντες οἱ Μαθηταὶ, ὠνειδίζοντο τὸ τῆς καρδίας σκληρόν· ἀλλὰ τοῖς σημείοις καθοπλισθέντες καὶ θαύμασι, πρὸς τὸ κήρυγμα ἀπεστέλλοντο· καὶ σὺ μὲν Κύριε πρὸς τὸν ἀρχίφωτον ἀνελήφθης Πατέρα· οἱ δὲ ἐκήρυττον πανταχοῦ τὸν λόγον, τοῖς θαύμασι πιστούμενοι. Διὸ οἱ φωτισθέντες δι' αὐτῶν, δοξάζομέν σου τὴν ἐκ νεκρῶν Ἀνάστασιν, φιλάνθρωπε Κύριε.

Ἑωθινὸν Δ΄. Ἦχος δ΄.

Ὄρθρος ἦν βαθὺς, καὶ αἱ γυναῖκες ἦλθον ἐπὶ τὸ μνῆμά σου Χριστέ· ἀλλὰ τὸ σῶμα οὐχ εὑρέθη τὸ ποθούμενον αὐταῖς· διὸ ἀπορουμέναις, οἱ ταῖς ἀστραπτούσαις ἐσθήσεσιν ἐπιστάντες, τί τὸν ζῶντα, μετὰ τῶν νεκρῶν ζητεῖτε, ἔλεγον; ἠγέρθη ὡς προεῖπε· τί ἀμνημονεῖτε τῶν ῥημάτων αὐτοῦ; οἷς πεισθεῖσαι, τὰ ὀραθέντα ἐκήρυττον· ἀλλ' ἐδόκει λῆρος τὰ Εὐαγγέλια· οὕτως ἦσαν ἔτι νωθεῖς οἱ Μαθηταί· ἀλλ' ὁ Πέτρος ἔδραμε, καὶ ἰδὼν ἐδόξασέ σου, πρὸς ἑαυτὸν τὰ θαυμάσια.

Ἑωθινὸν Ε΄. Ἦχος πλ. ά.

Ὢ τῶν σοφῶν σου κριμάτων Χριστὲ, πῶς Πέτρῳ μὲν τοῖς ὀθονίοις μόνοις, ἔδωκας ἐννοῆσαί σου τὴν Ἀνάστασιν. Λουκᾷ δὲ καὶ Κλεόπᾳ συμπορευόμενος ὡμίλεις, καὶ ὁμιλῶν οὐκ εὐθέως ἑαυτὸν φανεροῖς· διὸ καὶ ὀνειδίζῃ, ὡς μόνος παροικῶν ἐν Ἱερουσαλὴμ, καὶ μὴ μετέχων τῶν ἐν τέλει βουλευμάτων αὐτῆς· ἀλλ' ὁ πάντα πρὸς τὸ τοῦ πλάσματος συμφέρον οἰκονομῶν, καὶ τὰς περὶ σοῦ προφητείας ἀνέπτυξας, καὶ ἐν τῷ εὐλογεῖν τὸν ἄρτον, ἐγνώσθης αὐτοῖς· ὧν καὶ πρὸ τούτου αἱ καρδίαι, πρὸς γνῶσίν σου ἀνεφλέγοντο· οἳ καὶ τοῖς Μαθηταῖς συνηθροισμένοις, ἤδη τρανῶς ἐκήρυττόν σου τὴν Ἀνάστασιν· δι' ἧς ἐλέησον ἡμᾶς.

Ἑωθινὸν Ϛ΄. Ἦχος πλ. β΄.

Ἡ ὄντως εἰρήνη σὺ Χριστὲ πρὸς ἀνθρώπους Θεοῦ, εἰρήνην τὴν σὴν διδοὺς μετὰ τὴν Ἔγερσιν Μαθηταῖς, ἐμφόβους ἔδειξας αὐτοὺς, δόξαντας πνεῦμα ὁρᾶν· ἀλλὰ κατέστειλας τὸν τάραχον αὐτῶν τῆς ψυχῆς, δείξας τὰς χεῖρας, καὶ τοὺς πόδας σου· πλὴν ἀπιστούντων ἔτι τῇ τῆς τροφῆς μεταλήψει, καὶ διδαχῶν ἀναμνήσει, διήνοιξας αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς Γραφάς· οἷς καὶ τὴν Πατρικὴν ἐπαγγελίαν καθυποσχόμενος, καὶ εὐλογήσας αὐτοὺς, διέστης πρὸς Οὐρανόν. Διὸ σὺν αὐτοῖς προσκυνοῦμέν σε, Κύριε δόξα σοι.

Ἑωθινὸν Ζ'. Ἦχος βαρύς.

Ἰδοὺ σκοτία καὶ πρωΐ, καὶ τί πρὸς τὸ μνημεῖον Μαρία ἕστηκας, πολὺ σκότος ἔχουσα ταῖς φρεσίν; ὑφ' οὗ ποῦ τέθειται ζητεῖς ὁ Ἰησοῦς· ἀλλ' ὅρα τοὺς συντρέχοντας Μαθητάς, πῶς τοῖς ὀθονίοις, καὶ τῷ σουδαρίῳ, τὴν Ἀνάστασιν ἐτεκμήραντο, καὶ ἀνεμνήσθησαν τῆς περὶ τούτου γραφῆς· μεθ' ὧν καὶ δι' ὧν, καὶ ἡμεῖς πιστεύσαντες, ἀνυμνοῦμέν σε τὸν Ζωοδότην Χριστόν.

Ἑωθινὸν Η'. Ἦχος πλ. δ'.

Τὰ τῆς Μαρίας δάκρυα, οὐ μάτην χεῖνται θερμῶς· ἰδοὺ γὰρ κατηξίωται, καὶ διδασκόντων Ἀγγέλων, καὶ τῆς ὄψεως τῆς σῆς ὦ Ἰησοῦ· ἀλλ' ἔτι πρόσγεια φρονεῖ, οἷα γυνὴ ἀσθενής· διὸ καὶ ἀποπέμπεται, μὴ προσψαῦσαί σοι Χριστέ, ἀλλ' ὅμως κήρυξ πέμπεται τοῖς σοῖς Μαθηταῖς· οἷς εὐαγγέλια ἔφησε, τὴν πρὸς τὸν πατρῷον κλῆρον ἄνοδον ἀπαγγέλλουσα. Μεθ' ἧς ἀξίωσον καὶ ἡμᾶς, τῆς ἐμφανείας σου Δέσποτα Κύριε.

Ἑωθινὸν Θ'. Ἦχος πλ. α'.

Ὡς ἐπ' ἐσχάτων τῶν χρόνων, οὔσης ὀψίας Σαββάτων, ἐφίστασαι τοῖς φίλοις Χριστέ, καὶ θαύματι θαῦμα βεβαιοῖς, τῇ κεκλεισμένῃ εἰσόδῳ τῶν θυρῶν, τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν· ἀλλ' ἔπλησας χαρᾶς τοὺς Μαθητάς, καὶ Πνεύματος Ἁγίου μετέδωκας αὐτοῖς, καὶ ἐξουσίαν ἔνειμας ἀφέσεως ἁμαρτιῶν· καὶ τὸν Θωμᾶν οὐ κατέλιπες, τῷ τῆς ἀπιστίας καταβαπτίζεσθαι κλύδωνι. Διὸ παράσχου καὶ ἡμῖν γνῶσιν ἀληθῆ, καὶ ἄφεσιν πταισμάτων, εὔσπλαγχνε Κύριε.

Ἑωθινὸν Ι'. Ἦχος πλ. β'.

Μετὰ τὴν εἰς Ἅδου κάθοδον, καὶ τὴν ἐκ νεκρῶν Ἀνάστασιν, ἀθυμοῦντες ὡς εἰκὸς ἐπὶ τῷ χωρισμῷ σου Χριστὲ οἱ Μαθηταί, πρὸς ἐργασίαν ἐτράπησαν· καὶ πάλιν πλοῖα, καὶ δίκτυα, καὶ ἄγρα οὐδαμοῦ· ἀλλὰ σὺ Σῶτερ ἐμφανισθείς, ὡς Δεσπότης πάντων, δεξιοῖς τὰ δίκτυα κελεύεις βαλεῖν· καὶ ἦν ὁ λόγος ἔργον εὐθύς, καὶ


πλῆθος τῶν ἰχθύων πολὺ, καὶ δεῖπνον ξένον ἕτοιμον ἐν γῇ· οὗ μετασχόντων τότε σου τῶν Μαθητῶν, καὶ ἡμᾶς νῦν νοητῶς καταξίωσον, ἐντρυφῆσαι φιλάνθρωπε Κύριε.

Ἑωθινὸν ΙΑ΄. Ἦχος πλ. δ΄.

Φανερῶν ἑαυτὸν τοῖς Μαθηταῖς σου Σωτὴρ, μετὰ τὴν Ἀνάστασιν, Σίμωνι δέδωκας τὴν τῶν προβάτων νομὴν, εἰς ἀγάπης ἀντέκτησιν, τὴν τοῦ ποιμαίνειν φροντίδα αὐτῶν· διὸ καὶ ἔλεγες· Εἰ φιλεῖς με Πέτρε, ποίμαινε τὰ ἀρνία μου, ποίμαινε τὰ πρόβατά μου· ὁ δὲ εὐθέως ἐνδεικνύμενος τὸ φιλόστοργον, περὶ τοῦ ἄλλου Μαθητοῦ ἐπυνθάνετο· ὧν ταῖς πρεσβείαις Χριστὲ τὴν ποίμνην σου, διαφύλαττε, ἐκ λύκων λυμαινομένων αὐτήν.



ΕΥΛΟΓΗΤΑΡΙΑ



ΑΝΑΣΤΑΣΙΜΑ.

Ἦχος πλ. ά.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτὴρ τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ Κύριε.

Τί τὰ μύρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων, ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις. Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ Κύριε.


Λίαν πρωΐ, Μυροφόροι ἔδραμον, πρὸς τὸ Μνῆμά σου θρηνολογοῦσαι· ἀλλ' ἐπέστη πρὸς αὐτὰς ὁ Ἄγγελος καὶ εἶπε· Θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε· τὴν Ἀνάστασιν δὲ Ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ Κύριε.

Μυροφόροι Γυναῖκες μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ Μνῆμά σου Σῶτερ ἐνηχοῦντο. Ἄγγελος δέ, πρὸς αὐτὰς ἔφη λέγων· Τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

Δόξα. Τριαδικόν.

Προσκυνοῦμεν, Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφίμ, κράζοντες τό· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε.



Καὶ νῦν. Θεοτοκίον.

Ζωοδότην τεκοῦσα, ἁμαρτίας Παρθένε, τὸν Ἀδὰμ ἐλυτρώσω, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς· ἴθυνε πρὸς ταύτην δὲ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ Ἄνθρωπος.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλ. Δόξα σοι ὁ Θεός. γ'.

ΝΕΚΡΩΣΙΜΑ.

Ἦχος πλ. ά.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἁγίων ὁ χορὸς, εὗρε πηγὴν τῆς ζωῆς, καὶ θύραν Παραδείσου· εὕρω κἀγὼ, τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι· ἀνακάλεσαί με Σωτὴρ, καὶ σῶσόν με.

Εὐλογητὸς εἶ Κύριε.

Οἱ τὸν Ἀμνὸν, τοῦ Θεοῦ κηρύξαντες, καὶ σφαγιασθέντες ὥσπερ ἄρνες, καὶ πρὸς ζωὴν, τὴν ἀγήρω Ἅγιοι, καὶ ἀΐδιον μετατεθέντες, τοῦτον ἐκτενῶς, Μάρτυρες αἰτήσασθε, ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι.

Εὐλογητὸς εἶ Κύριε.

Οἱ τὴν ὁδὸν, τὴν στενὴν βαδίσαντες, τεθλιμμένην πάντες οἱ ἐν βίῳ, οἱ τὸν Σταυρὸν, ὡς ζυγὸν ἀράμενοι, καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει· δεῦτε ἀπολαύετε, ἃ ἡτοίμασα ὑμῖν βραβεῖα, καὶ στέφη τὰ οὐράνια.

Εὐλογητὸς εἶ Κύριε.

Εἰκών εἰμι, τῆς ἀῤῥήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον, τὸ σὸν πλάσμα Δέσποτα, καὶ καθάρισον τῇ εὐσπλαγχνίᾳ, καὶ τὴν ποθεινὴν Πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ Κύριε.

Ὁ πάλαι μὲν, ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπι-

στρέψας, εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ᾽ ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ Κύριε.

Ἀνάπαυσον, ὁ Θεὸς τοὺς δούλους σου, καὶ κατάταξον αὐτοὺς ἐν Παραδείσῳ, ὅπου χοροὶ, τῶν Ἁγίων Κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς Φωστῆρες, τοὺς κεκοιμημένους δούλους σου ἀνάπαυσον, παρορῶν αὐτῶν πάντα τὰ ἐγκλήματα.

Δόξα. Τριαδικόν.

Τὸ τριλαμπὲς, τῆς μιᾶς Θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱὸς, καὶ θεῖον Πνεῦμα, φώτισον ἡμᾶς, πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Σεμνὴ, ἡ Θεὸν σαρκὶ τεκοῦσα εἰς πάντων σωτηρίαν, δι᾽ ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν· διὰ σοῦ εὕροιμεν, Παράδεισον, Θεοτόκε Ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλ. Δόξα σοι ὁ Θεός. γ΄.



ΜΡ ΘΥ



ΑΚΟΛΟΥΘΙΑ

ΤΗΣ ΚΟΙΝΗΣ ΠΑΡΑΚΛΗΣΕΩΣ

ΤΗΣ ΘΕΟΤΟΚΟΥ.



Εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα τοῦ Κύριε εἰσάκουσον τῆς Προσευχῆς μου. Εἶτα, τὸ, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Καὶ τὰ Τροπάρια.

Ἦχος δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ, καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων, μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Δόξα, καὶ νῦν.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα τὸν, Ν'. καὶ μετὰ τὸν Πεντηκοστὸν, ἀρχόμεθα τοῦ Κανόνος τῆς Ὑπεραγίας Θεοτόκου.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταταφεύγω, σωτηρίαν ἐπιζητῶν, ὦ Μῆτερ τοῦ Λόγου, καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Παθῶν με ταράττουσι προσβολαὶ πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ, καὶ Θεοῦ σου πανάμωμε.

Δόξα Πατρί.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεὸν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Καὶ νῦν.

Νοσοῦντα τὸ σῶμα, καὶ τὴν ψυχὴν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε· σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.


Ἱκετεύω Παρθένε τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, Θεομακάριστε.

Δόξα Πατρί.

Εὐεργέτην τεκοῦσα τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, μόνη πανάχραντε.

Καὶ νῦν.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γὰρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν Πανάμωμε τὸν ἀδαπάνητον.



Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα μνημονεύει ὁ Ἱερεὺς, δι' ὧν ἡ Παράκλησις γίνεται· καὶ ψάλλομεν τὸ, Κύριε ἐλέησον, ιέ.

Ὁ Ἱερεύς· Ὅτι ἐλεήμων. Καὶ εὐθὺς λέγομεν·

Κοντάκιον. Ἦχος β'.

Πρεσβεία θερμὴ, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγὴ, τοῦ Κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τῶν παθῶν μου τον τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα παντων τῶν ὑμνούντων σε.

Δόξα Πατρί.

Ἀπολαύοντες Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντες σε Θεομήτορα.

Καὶ νῦν.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.



Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἔμπλησον Ἁγνὴ εὐφροσύνης τὴν ζωὴν ἡμῶν, τὴν σὴν ἀκήρατον διδοῦσα χαρὰν, τῆς εὐφροσύνης, ἡ γεννήσασα τὸν αἴτιον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Λύτρωσαι ἡμᾶς ἐκ κινδύνων Θεοτόκε ἁγνὴ, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Δόξα Πατρί.

Λῦσον τὴν ἀχλὺν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προαιώνιον.

Καὶ νῦν.

Ἴασαι Ἁγνὴ τῆς ψυχῆς μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν, τῇ πρεσβείᾳ σοῦ παράσχου μοι.

Ὠδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.


Θανάτου καὶ τῆς φθορᾶς ὃς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ, καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱὸν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν, διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διὰ παντὸς, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Δόξα Πατρί.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν, ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα· ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.



Καὶ νῦν.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ' ἡ Θεὸν, καὶ Σωτῆρα τοῦ Κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς. Ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὁ Ἱερεὺς μνημονεύει, ὡς δεδήλωται. Καὶ μετὰ τὴν Ἐκφώνησιν ψάλλεται·

Κοντάκιον. Ἦχος β'.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς· ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ, εἰς τὴν βοήθειαν ἡμῶν τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεὶ, Θεοτόκε τῶν τιμώντων σε.

Προκείμενον. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Στίχος. Ἄκουσον Θύγατερ, καὶ ἴδε.

Ὁ Ἱερεύς· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ Ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Σοφία, ὀρθοὶ, ἀκούσωμεν τοῦ Ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Ἐκ τοῦ κατὰ Λουκᾶν Ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα. Πρόσχωμεν.

ΕΥΑΓΓΕΛΙΟΝ.

Κεφάλαιον ά. 39.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ, ἐπορεύθη εἰς τὴν Ὀρεινὴν μετὰ σπουδῆς εἰς Πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ· καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ, τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοι-

λίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου· καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου· καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου· ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Δόξα. Ἦχος β΄.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Τὸ αὐτό. Εἶτα, Ἐλέησόν με ὁ Θεός.

Ἦχος πλ. β΄.

Μὴ καταπιστεύσῃς με ἀνθρωπίνῃ προστασίᾳ, Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν τοῦ οἰκέτου σου· θλίψις γάρ ἔχει με, φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα· σκέπην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλήν σου. Δέσποινα τοῦ Κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον.

Ὁ Ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν Λαόν σου. Τὸ, Κύριε ἐλέησον, ιβ΄. Ἐλέει καὶ οἰκτιρμοῖς. Καὶ τὰ λοιπά.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ

Κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Δόξα Πατρί.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῶν ἀποτεκοῦσα.

Καὶ νῦν.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε Κόρη εἰς αἰῶνας.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσι τὸν ἄφραστόν σου Τόκον.

Δόξα Πατρί.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σε δοξάζω τὴν κεχαριτωμένην.

Καὶ νῦν.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Κυρίως Θεοτόκον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ροήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε Χριστὸν κυήσασα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Δόξα Πατρί.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σε καταγγέλλοντας. Καὶ νῦν.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα Παρθένε θεράπευσον, ἐξ ἀῤῥωστίας εἰς ῥῶσιν μετασκευάζουσα.

Καὶ εὐθὺς τό, Ἄξιον ἐστὶν ὡς ἀληθῶς. Καὶ θυμιᾷ ὁ Ἱερεὺς τὸ Θυσιαστήριον, καὶ τὸν Λαόν· καὶ ἡμεῖς ψάλλομεν τὰ παρόντα. Θεοτοκίον.

Τὴν ὑψηλοτέραν τῶν Οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ Κόσμου ὕμνοις τιμήσωμεν.

Ὅμοιον.

Ἀπὸ τῶν πολλῶν μȣ ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή· πρὸς σὲ καταφεύγω τὴν κεχαριτωμένην, ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Ὅμοιον.

Δέσποινα καὶ Μήτηρ τȣ̃ Λυτρωτȣ̃, δέξαι Παρακλήσεις ἀναξίων σῶν οἰκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σȣ̃ τεχθέντα· ὢ Δέσποινα τοῦ Κόσμου γενοῦ μεσίτρια.

Ὅμοιον.

Ψάλλομεν προθύμως σοὶ τὴν ᾠδὴν, νῦν τῇ πανυμνήτῳ Θεοτόκῳ χαρμονικῶς, μετὰ τȣ̃ Προδρόμȣ, καὶ πάντων τῶν Ἁγίων, δυσώπει Θεοτόκε, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ὅμοιον.

Ἄλαλα τὰ χείλη τῶν ἀσεβῶν, τῶν μὴ προσκυνούντων, τὴν Εἰκόνα σου τὴν σεπτὴν, τὴν ἱστορηθεῖσαν ὑπὸ τοῦ Ἀποστόλου, Λουκᾶ ἱερωτάτου, τὴν Ὁδηγήτριαν.

Ὅμοιον.

Ἵλεως γενοῦ μοι τῷ ταπεινῷ, ὅτι πλήν σου ἄλλην οὐ γινώσκω καταφυγὴν, ὁ ἐν ἁμαρτίαις παντοίαις πεπλησμένος, ἐλέησόν με μόνη, Χριστιανῶν ἡ ἐλπίς.

Ὅμοιον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκὰς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα, Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν.

Ὁ Ἱερεύς· Ὅτι σοῦ· καὶ τὰ Τροπάρια ταῦτα.

Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς.

Δόξα Πατρί.

Κύριε ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γάρ.

Καὶ νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην.

Ὁ Ἱερεύς·

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, κατευοδώσεως, καὶ ἀφέσεως ἁμαρτιῶν τȣ̃ δȣ́λου τȣ̃ Θεȣ̃ (τȣ̃ δεῖνος) εἴπωμεν.

Ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν Ἁγίαν Μονὴν ταύτην.

Καὶ τὰ λοιπὰ, καὶ Ἀπόλυσις.



ΚΑΝΩΝ ΚΑΤΑΝΥΚΤΙΚΟΣ

ΕΙΣ ΤΗΝ

ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

ΕΝ ΕΞΟΜΟΛΟΓΗΣΕΙ ΑΜΑΡΤΩΛΟΥ.

Ὠδὴ ά. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ.

Πῶς μου θρηνήσω τὸν βίον τὸν ῥυπαρὸν, καὶ τὰ πλήθη Δέσποινα, τῶν ἀμέτρων μου κακῶν; τί δὲ ἐξαγγέλλω σοι Ἁγνὴ, ἀπορῶ καὶ δειλιῶ· ἀλλὰ βοήθει μοι.

Πόθεν ἀπάρξομαι λέγειν τὰ πονηρὰ, καὶ δεινά μου πταίσματα ὁ ταλαίπωρος ἐγώ; οἴμοι τί γενήσωμαι λοιπόν; ἀλλὰ Δέσποινα κἀμὲ, πρὸ τέλους οἴκτειρον.

Πᾶσαν ὁδὸν παροδεύσας ἁμαρτιῶν, σωτηρίας Ἄχραντε, τρίβον εὗρον οὐδαμῶς· ἀλλὰ σοὶ προστρέχω ἀγαθὴ, μὴ παρίδῃς ἐκ ψυχῆς μετανοοῦντά με.

Τοῦ μὲν θανάτου τὴν ὥραν διηνεκῶς, ἐννοῶ Πανάχραντε, καὶ τὸ βῆμα τὸ φρικτόν· συνηθείᾳ ὅλως δὲ κακῶν, δελεάζομαι δεινῶς· ἀλλὰ βοήθει μοι.

Τῶν ἀγαθῶν ὁ φθορεὺς με νῦν καθορῶν, γυμνὸν ἀπροστάτευτον, καὶ μακρὰν ἀπὸ Θεοῦ, γεγονότα θείων ἀρετῶν, καταπίνειν με ὁρμᾷ. Δέσποινα πρόφθασον.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε.

Ψυχὴν ἐμόλυνα αἰσχρῶς, Δέσποινα Θεοτόκε, ἐξ ἀμέτρων πταισμάτων, ὁ ταλαίπωρος ἐγώ· καὶ ποῦ λοιπὸν πορευθῶ, ἀπογνώσει ὅλως συνεχόμενος;

Τὸ κατ᾽ εἰκόνα σου Ἁγνὴ, κατεσπίλωσα οἴμοι, ὑψηλόφρονι γνώμῃ, ὁ ταλαίπωρος ἐγώ· καὶ ποῦ λοιπὸν πορευθῶ; ἀλλὰ σπεῦσον Παρθένε βοήθει μοι.

Οὐκ ἔστιν ὅλως ἐν βροτοῖς, ὁ τὰ ἄθεσμα πράξας, γεννηθεὶς ἐν τῷ βίῳ, ὥσπερ ἐγὼ Ἀγαθὴ, ἀσελγείας τῶν δεινῶν· τὸ γὰρ θεῖον, Βάπτισμα ἐμόλυνα.

Εἰς τέλος ἔφθασα κακῶν, Παναγία Παρθένε, σὺ βοήθησον τάχει. Οὐρανὸς γὰρ καὶ ἡ γῆ, καταβοῶσι πικρῶς, τῶν ἀμέτρων πράξεων τὰ ἄτοπα.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ἀγγέλων τάγματα καὶ τὰ στρατεύματα. Οὐρανῶν αἱ Δυνάμεις τοῦ σοῦ Υἱοῦ, φρίττουσι τὸ κράτος Ἁγνή· νῦν δὲ ἐγὼ ἀπογνωσθεὶς, ἀφοβίᾳ περιέχομαι.

Ἐξέστη ἅπασα ἡ γῆ καὶ ἔφριξε, καθορῶσα δεινῶς τε καὶ πονηρῶς, πράττοντα τὰ ἄτοπα, καὶ τοῦ Υἱοῦ σου τὴν πολλὴν, εὐσπλαγχνίαν καταπλήττοντα.

Ναὸν ἐμόλυνα κακῶς τοῦ σώματος, καὶ Ναὸν τοῦ Κυρίου, ὅν περ βροτοὶ, τρέμοντες εἰσέρχονται, ἐγὼ δὲ οἴμοι ἀναιδῶς εἰσπορεύομαι ὁ ἄσωτος.

Μὴ δείξῃς Δέσποινα, μὴ δείξῃς ξένον με, ξενωθέντα τῆς σκέπης τοῦ σοῦ Υἱοῦ, ὅλως καὶ ἀνάξιον· ἀλλὰ ἀπόπλυνον κἀμὲ, ἐκ τοῦ ῥύπου τῶν πταισμάτων μου.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.

Ἀδὰμ παρέβη μὲν ἐντολὴν, μίαν σου Παρθένε τοῦ Υἱοῦ, καὶ ἐξορίᾳ ὑπέπεσε· πῶς δέ με θρηνήσω πταισμάτων ἄβυσσον, ἐγὼ ὁ ἀποστάτης καὶ παραβάτης Θεοῦ;

Φθορεὺς μὲν πάλαι ἀναφανεὶς, καὶ ἀδελφοκτόνος Κάϊν πρὶν ἀπὸ Θεοῦ κεκατήραται· τί δὲ καὶ ποιήσω ἐγὼ ὁ πάντολμος; ψυχὴν γὰρ ἀποκτείνας νῦν οὐκ αἰσχύνομαι.

Ἠσαῦ ἐζήλωσα τὸν δεινὸν, ἐν γαστριμαργίᾳ καὶ τρυφῇ, ψυχὴν καὶ σῶμα ἐμόλυνα, μέθῃ καὶ λαγνείᾳ ῥυπώσας βίον μου· καὶ τίς λοιπὸν μὴ κλαύσει ἐμὲ τὸν ἄθλιον;

Τῷ θείῳ φέγγει σου Ἀγαθὴ, ἴασαί μου πάθη τῆς ψυχῆς, ἃ ὁ φθορεύς μοι ἐνέσπειρε· ῥῦσαί με τῆς τούτου αἰχμαλωσίας πικρᾶς· γελᾷ γὰρ καθορῶν με νῦν ἀπροστάτευτον.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Ὁ βίος μου ἄσωτος, ἡ ψυχή μου ῥυπαρὰ, καὶ ἡ ζωὴ παναθλιος, τὸ δὲ σῶμά μου ὅλον ἐν τοῖς κακοῖς, δεινῶς κατεσπίλωσα· διὸ σπεῦσον Παρθένε, καὶ βοήθει μοι.

Τὸ τέλος ἐφέστηκε, καὶ οὐ φέρω Ἀγαθὴ, τὸ συνειδὸς

ἐλέγχει με· παριστᾷ γάρ μοι πράξεις τὰς πονηρὰς, καὶ βίου τὸ ἄστατον, καὶ τὸ βῆμα πτοοῦμαι τȣ̃ Υἱοῦ σȣ Ἁγνή.

Σαρκός μȣ τὴν πύρωσιν, ποταμὸς ὁ τȣ̃ πυρὸς, ὁ φοβερὸς καὶ ἄσβεστος, ἀναμένει Πανάχραντε ἀληθῶς, καὶ σκώληξ ἀκοίμητος· ἀλλὰ ῥῦσαί με τούτων ταῖς πρεσβείαις σου.

Σὺν τρόμῳ συνέχομαι, καὶ πτοοῦμαι Ἀγαθὴ, τȣ̃ πονηροῦ τὰ ἔνεδρα· πρὸ τοῦ τέλȣς γὰρ τρίζει μοι ὁ φθορεὺς, ὀδόντας κατέχων με, ὡς αἰχμάλωτον ὄντα καὶ γυμνὸν ἀρετῶν.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἑπταπλάσιον τὴν φλόγα μοι ἐξέκαυσε, τὴν τῶν παθῶν ὁ δόλιος· ταῖς μοιχείαις δὲ, τῆς καρδίας ὅλον θανατοῖ· ἀλλ᾽ ἄρδευσον ῥείθροις τῶν ἐμῶν, δακρύων Μῆτερ τοῦ Θεοῦ, καὶ μὴ ἀπώσῃ με.

Συμπνιγόμενον τῷ βόθρῳ τῶν πταισμάτων μου, μή με ἐάσῃς Δέσποινα· καὶ γὰρ βλέπων με ἀπογνῶντα ὄντα Ἀγαθὴ, γελᾷ ὁ παμπόνηρος ἐχθρός· ἀλλὰ αὐτή σου κραταιᾷ χειρὶ ἀνάστησον.

Φοβερὸν μὲν τὸ Κριτήριον ταλαίπωρε, ψυχή μου καὶ ἀναίσθητε, καὶ ἡ Κόλασις ἀτελεύτητός τε καὶ φρικτή· ἀλλ᾽ ὅμως νῦν πρόσπεσον Μητρὶ, τῇ τοῦ Κριτοῦ σου καὶ Θεοῦ, καὶ μὴ ἀπέγνως σαυτήν.

Ἐπὶ σὲ τὴν πᾶσαν Δέσποινα ἐλπίδα μου, ἀνέθηκα ὁ ἄσωτος, μὴ ἀποστρέψῃς ἀπ᾽ ἐμοῦ τὸ πρόσωπόν σου νῦν, μὴ σπλαγχνα φιλανθρωπε τὰ σὰ, κλείσῃς μοι Μῆτερ τοῦ Θεοῦ, ἀλλὰ βοήθει μοι.

Ἐσκοτίσθην ὁ ταλαίπωρος Πανάχραντε, τῷ πλήθει τῶν ἀμέτρων κακῶν, καὶ ἠλλοίωμαι τῆς ψυχῆς τὸ ὄμμα καὶ τὸν νοῦν· διό με φωτός σου ταῖς αὐγαῖς, πρὸς ἀπαθείας γλυκασμὸν θᾶττον εἰσάγαγε.

Ὠδὴ ή. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Τῆς Τριάδος τὸν ἕνα Θεὸν ἡ τέξασα, καὶ ἀγκάλαις βαστάσασα Μητροπάρθενε, σβέσον τῶν παθῶν, τὴν πυρίφλογον κάμινον, καὶ δακρύων ῥείθροις, ἀπόπλυνον ψυχήν μου.

Παρȣσίαν θανάτου φρίττω Πανάχραντε, καὶ τὴν κρίσιν ἐκείνην ὅλως ȣ̓ δέδοικα· πράττειν δὲ κακὰ οὐδὲ ὅλως ἀφίσαμαι· οἴκτειρον καὶ σῶσον, πρεσβείαις σȣ πρὸ τέλους.

Στεναγμοὺς ἀσιγήτȣς Δέσποινα δώρησαι, καὶ δακρύων πηγήν μοι, ἵνα ἐκπλύνω μου, πταίσματα πολλὰ, καὶ ἀνίατα τραύματα· ὅπως ἐπιτύχω ζωῆς τῆς αἰωνίου.

Τῶν κακῶν μȣ τὰ πλήθη σοὶ ἐξηγόρευσα· ὡς ȣ̓δεὶς γὰρ ἐν Κόσμῳ ἄλλος παρώργισα, Δέσποινα Θεὸν, τὸν Υἱόν σȣ καὶ Κύριον· τȣ́τῳ με ἐν τάχει κατάλλαξον εὐχαῖς σου.

Μή με στήσῃς ἐν ὥρᾳ Δέσποτα Κρίσεως, μετὰ τῶν κατακρίτων ὁ φύσει εὔσπλαγχνος· ἀλλὰ σῆς Μητρὸς πρεσβείαις ἐλέησον, καὶ τοῖς δεξιοῖς σȣ μὲ σύνταξον προβάτοις.

Ὠδὴ Θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.


Ἰδοὺ προσέρχομαί σοι Πανάχραντε, φόβῳ πολλῷ, καὶ πόθῳ τὴν ἰσχὺν ἐπιστάμενος, τῆς πολλῆς σου πρεσβείας ἐγὼ ὁ δοῦλός σου· μέγιστα γὰρ ἰσχύει, ὦ Παντευλόγητε, δέησις Μητρὸς πρὸς τὸν Υἱόν· σπλάγχνοις γὰρ κάμπτεται.

Χοροὺς παράλαβε Ἀρχαγγέλων τε, καὶ τὴν πληθὺν τῶν ἄνω στρατευμάτων καὶ Πρόδρομον, Ἀποστόλων δήμους, καὶ Προφήτας τε, Μάρτυρας, καὶ Ὁσίους Ἱερομάρτυρας, καὶ πρεσβείαν ποίησον Ἁγνὴ, ὑπὲρ ἐμοῦ πρὸς Θεόν.

Καὶ νῦν καὶ τότε τὴν σὴν βοήθειαν, εὕρω Ἁγνὴ, ἐν ᾗ, ὅταν ἐκλείπῃ τὰ πνεῦμά μου, τῶν δαιμόνων θᾶττον λυτρουμένη με, ῥῦσαι τῆς Τυραννίδος τούτων Πανάχραντε· καὶ μή με ἐάσῃς ἀγαθὴ, παραδοθῆναι αὐτοῖς.

Κριτὴν οἰκτίρμονα, καὶ φιλάνθρωπον, τὸν σὸν Υἱὸν ἐκδέχομαι Ἁγνὴ, μὴ ὑπερίδῃς με· ἀλλ' αὐτόν μοι ποίησον εὐΐλατον, στῆσαι ἐκ δεξιῶν με τότε Πανύμνητε, τοῦ ἀχράντου βήματος αὐτοῦ· εἰς σὲ γὰρ ἤλπισα.

Ἀρχαὶ Ἀρχάγγελοι Κυριότητες, καὶ Σεραφὶμ Δυνάμεις Ἐξουσίαι καὶ Ἄγγελοι, Θρόνοι Πολυομμάτοις σὺν τοῖς Χερουβὶμ, νῦν τὸν δεδοξασμένον Τόκον σȣ σέβοντες, σὲ Παρθενομῆτορ, εὐλαβῶς ἀεὶ δοξάζουσι.



ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΜΙΚΡΟΥ ΑΓΙΑΣΜΟΥ.



Εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα τοῦ, Κύριε εἰσάκουσον τῆς Προσευχῆς μου. Εἶτα τοῦ, Θεὸς Κύριος, εἰς Ἦχον δ'. Καὶ τὰ παρόντα Τροπάρια.

Ἦχος δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον, ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην, ἐλπίδα κεκτήμεθα.

Δόξα, καὶ νῦν.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.


Ὁ Ν'. Ἐλέησόν με ὁ Θεός. Εἶτα ψάλλομεν τὰ Τροπάρια ταῦτα.

Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Ἡ τὸ χαῖρε δι' Ἀγγέλου δεξαμένη, καὶ τεκοῦσα τὸν Κτίστην τὸν ἴδιον, Παρθένε σῶζε τοὺς σὲ μεγαλύνοντας. Δίς.

Ἀνυμνοῦμεν τὸν Υἱόν σου, Θεοτόκε, καὶ βοῶμεν Πανάχραντε Δέσποινα· Παντὸς κινδύνου ῥῦσαι τοὺς οἰκέτας σου.

Βασιλέων, Προφητῶν, καὶ Ἀποστόλων, καὶ Μαρτύρων ὑπάρχεις τὸ καύχημα, καὶ προστασία τοῦ Κόσμου Πανάμωμε.



Γλῶσσα πᾶσα εὐφημεῖ καὶ μακαρίζει, καὶ δοξάζει τὸν ἄχραντον τόκον σου, τῶν Ὀρθοδόξων Μαρία Θεόνυμφε.

Δὸς Χριστέ μου καὶ ἐμοὶ τῷ ἀναξίῳ, ὀφλημάτων τὴν ἄφεσιν δέομαι, τῆς σὲ τεκούσης πρεσβείαις ὡς εὔσπλαγχνος.

Ἐπὶ σέ με τὰς ἐλπίδας ἀνεθέμην, Θεοτόκε σῶσον ταῖς πρεσβείαις σου, καὶ δώρησαί μοι πταισματων τὴν ἄφεσιν.

Ζώωσόν με ἡ τεκοῦσα Ζωοδότην, καὶ Σωτῆρα, σῶσον ταῖς πρεσβείαις σου, εὐλογημένη ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

Ἡ τὸν Κτίστην τῶν ἁπάντων ἐν γαστρί σου, συλλαβοῦσα, Παρθένε Παναμώμε, ταῖς σαῖς πρεσβείαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Θεοτόκε ἡ τεκοῦσα διὰ λόγου, ὑπὲρ λόγον, τὸν Λόγον Πανύμνητε, αὐτὸν δυσώπει, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἵλεών μοι τὸν Κριτήν τε καὶ Υἱόν σου, ἔπταικότι ὑπὲρ πάντα ἄνθρωπον, ταῖς σαῖς πρεσβείαις ἀπέργασαι Δέσποινα.

Καταχρέως ἐκβοῶμέν σοι τὸ, Χαῖρε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε, ἐκδυσωποῦντες πρεσβείαις σου σώζεσθαι.

Λύτρωσαί με τοῦ πυρὸς τοῦ αἰωνίου, καὶ βασάνων τῶν ἀποκειμένων μοι, Θεογεννῆτορ, ὅπως μακαρίζω σε.

Μὴ παρίδῃς τὰς δεήσεις τῶν σῶν δούλων, δυσωποῦμεν Δέσποινα πανύμνητε, ἵνα ῥυσθῶμεν πάσης περιστάσεως.

Νοσημάτων καὶ παντοίων ἀλγηδόνων, καὶ κινδύνων ἡμᾶς ἐλευθέρωσον, τῇ ἱερᾷ σου σκέπῃ καταφεύγοντας.

Ξένον θαῦμα τὸ ἐν σοὶ Θεοκυῆτορ· δι' ἡμᾶς γὰρ καθ' ἡμᾶς γεγέννηται, ὁ πάντων Κτίστης ἐκ σοῦ καὶ Θεὸς ἡμῶν.

Ὁ Ναός σου Θεοτόκε ἀνεδείχθη, ἰατρεῖον νοσημάτων ἄμισθον, καὶ θλιβομένων ψυχῶν παραμύθιον.

Παναγία Θεοτόκε ἡ τεκοῦσα τὸν Σωτῆρα, κινδύνων διάσωσον, καὶ πάσης ἄλλης ἀνάγκης τοὺς δούλους σου.

Ῥῦσαι πάσης ἀπειλῆς ἐπερχομένης, τοὺς σοὺς δούλους, Παναγία Δέσποινα, καὶ πάσης βλάβης ψυχῆς τε καὶ σώματος.

Σῶσον πάντας ταῖς πρεσβείαις σου Παρθένε Θεοτόκε,

τοὺς εἰς σὲ προστρέχοντας, καὶ ῥῦσαι πάσης ἀνάγκης καὶ θλίψεως.

Τίς προστρέχων τῷ Ναῷ σου Θεοτόκε, οὐ λαμβάνει ταχέως τὴν ἴασιν, ψυχῆς ὁμοῦ τε καὶ σώματος ἄχραντε;

Ὑπὸ πάντων δυσωπούμενος Οἰκτίρμον, τῶν Ἁγίων καὶ τῶν ἄνω Τάξεων, ἱλάσθητί μοι διὰ τῆς Τεκέσης σε.

Φεῖσαι Σῶτερ τῶν ψυχῶν τῶν τεθνεώτων, ἐπ' ἐλπίδι ζωῆς ἀδελφῶν ἡμῶν, καὶ ἄνες, ἄφες αὐτοῖς τὰ ἐγκλήματα.

Χαῖρε Κόσμου ἱλαστήριον Παρθένε, χαῖρε στάμνε καὶ λυχνία πάγχρυσε, τῆ θείᾳ Μάννα καὶ φωτὸς Θεόνυμφε.

Δόξα Πατρί.

Ψάλλομέν σοι τῷ Θεῷ τῷ ἐν Τριάδι, ἐκβοῶντες φωνὴν τὴν τρισάγιον, ἐκδυσωποῦντες σωτηρίας τεύξασθαι.

Καὶ νῦν. Θεοτοκίον.

Ὦ Παρθένε ἡ τεκοῦσα τὸν Σωτῆρα, καὶ Δεσπότην τῆ Κόσμου καὶ Κύριον, αὐτὸν δυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Χαῖρε ὄρος, χαῖρε βάτε, χαῖρε πύλη, χαῖρε κλίμαξ, χαῖρε θεία Τράπεζα, ἡ πάντων χαῖρε βοήθεια Δέσποινα.

Ταῖς πρεσβείαις Ἐλεῆμον τῆς Μητρός σε, τῆς ἀχράντε καὶ πάντων Ἁγίων σε, τὰ σὰ ἐλέη τῷ Λαῷ σε δώρησαι.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀρχαγγέλων, καὶ Ἀγγέλων, καὶ τῶν ἄνω Τάξεων, σοὺς δούλους Σῶτερ καλῶς διαφύλαξον.

Τῇ πρεσβείᾳ τοῦ τιμίου καὶ ἐνδόξου, Βαπτιστοῦ σου Προφήτου Προδρόμου τε, Χριστέ μου Σῶτερ, τοὺς δούλες σου φύλαξον.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀποστόλων, καὶ Μαρτύρων, καὶ πάντων Ἁγίων σε, τὰ σὰ ἐλέη τῷ Λαῷ σε δώρησαι.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀναργύρων, Θεοτόκε τοὺς δέλες σε φύλαττε, ὡς προστασία τῆ Κόσμε καὶ στήριγμα.

Δόξα Πατρί.

Τὸν Πατέρα καὶ Υἱὸν δοξολογῆμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον λέγοντες· Τριὰς Ἁγία σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ ἀῤῥήτως ἐπ᾽ ἐσχάτων συλλαβοῦσα, καὶ τεκοῦσα τὸν Κτίστην τὸν ἴδιον, Παρθένε σῶζε τὲς σὲ μεγαλύνοντας.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι Ἅγιος εἶ ὁ Θεός.

Εἶτα τὰ παρόντα Τροπάρια.

Νῦν ἐπέστη ὁ καιρὸς ὁ πάντας ἁγιάζων, καὶ ὁ δίκαιος ἡμᾶς ἀναμένει Κριτής· ἀλλ᾽ ἐπίστρεψον ψυχὴ πρὸς μετάνοιαν, ὡς ἡ Πόρνη κράζουσα σὺν δάκρυσι· Κύριε ἐλέησόν με.

Νάμασιν ἐπομβρίσας Χριστὲ, πηγὴν τῶν ἰάσεων, ἐν τῷ πανσέπτῳ Ναῷ τῆς Παρθένου σήμερον, καὶ τῷ τῆς σῆς εὐλογίας ῥαντισμῷ, φυγαδεύεις τὰς νόσους τῶν ἀσθενούντων. ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Παρθένος ἔτεκες ἀπειρόγαμε, καὶ Παρθένος ἔμεινας Μήτηρ ἀνύμφευτε, Θεοτόκε Μαρία, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι ἡμᾶς.

Παναγία Θεοτόκε Παρθένε, τῶν χειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον, καὶ συγχώρησιν τῶν πταισμάτων ἡμῶν αἴτησαι ἐν τῷ ψάλλειν ἡμᾶς τῶν Ἀγγέλων τὸν ὕμνον.

Ἅγιος ὁ Θεὸς, Ἅγιος ἰσχυρὸς, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Καὶ μετὰ τὸ Τρισάγιον, Προκείμενον. Ἦχος δ΄. Κύριος φωτισμός μου καὶ Σωτήρ μου.

Στίχος. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

ΑΠΟΣΤΟΛΟΣ.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφάλαιον β΄. 11.

Ἀδελφοὶ, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες, δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφὲς αὐτοὺς

καλεῖν, λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε· καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ· καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου, καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου. τουτέστι τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διαπαντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς Ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ Λαοῦ. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Ἀλληλουϊάριον. Ἐξηρεύξατο ἡ καρδία μου.

ΕΥΑΓΓΕΛΙΟΝ.

Ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφάλαιον ε. 1.

Τῷ καιρῷ ἐκείνῳ, ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ κολυμβήθρα, ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδὰ, πέντε στοὰς ἔχουσα. Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάραττε τὸ ὕδωρ. Ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι.

Ὁ Διάκονος.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς Σωτηρίας.
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος Κόσμου.
Ὑπὲρ τοῦ Ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ Πίστεως.
Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.

Ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ Θεοφυλάκτων.

Ὑπὲρ τῆς Πόλεως ταύτης.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ Ὕδωρ τοῦτο, τῇ δυνάμει, καὶ ἐνεργείᾳ, καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταφοιτῆσαι τῷ Ὕδατι τούτῳ, τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι τὸ Ὕδωρ τοῦτο, ἰαματικὸν ψυχῶν, καὶ σωμάτων, καὶ πάσης ἀντικειμένης δυνάμεως ἀποτρεπτικὸν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ, τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνȣ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πάντων τῶν χρηζόντων τῆς παρὰ τȣ Θεȣ βοηθείας καὶ ἀντιλήψεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς, φωτισμὸν γνώσεως καὶ εὐσεβείας, διὰ τῆς ὁμοουσίου Τριάδος, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν, ἀναδείξηται ἡμᾶς Υἱȣς καὶ κληρονόμους τῆς Βασιλείας αὐτοῦ, διὰ τῆς τοῦ Ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον.

Τῆς Παναγίας ἀχράντου ὑπερευλογημένης·

Ὁ Ἱερεὺς ἐκφώνως· Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις. Εἶτα λέγει τὴν Εὐχὴν ταύτην·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ, καὶ θαυμαστὸς τοῖς ἔργοις, ὁ πάσης Κτίσεως Δημιουργός· ὁ φυλάσσων τὴν διαθήκην σου, καὶ τὸ ἔλεός σου τοῖς ἀγα-

πῶσί σε, καὶ τηροῦσι τὰ σὰ προστάγματα· ὁ πάντων τῶν ἐν ἀνάγκαις ἐλεεινὰ προσδεχόμενος δάκρυα· διὰ γὰρ τοῦτο παραγέγονας ἐν δούλου μορφῇ, οὐ φάσμασιν ἡμᾶς ἐκδειματούμενος, ἀλλ' ὑγείαν τῷ σώματι ἀληθῆ ὀρέγων, καὶ λέγων· Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε· ἀλλὰ καὶ ἐκ πηλοῦ ζῶντας ὀφθαλμοὺς εἰργάσω, καὶ νίψασθαι κελεύσας, τὸ φῶς οἰκῆσαι παρεσκευάσας λόγῳ. Ὁ τὰς τῶν ἐναντίων παθῶν σπιλάδας ταράττων, καὶ τὴν τοῦ βίου τούτου ἁλμυρὰν θάλασσαν καταστείλας, καὶ τὰ ἀχθηφόρα τῶν ἡδονῶν κατευνάσας κύματα· αὐτὸς φιλάνθρωπε Βασιλεῦ, ὁ δοὺς ἡμῖν χιονοφεγγόφωτον φορέσαι στολὴν ἐξ Ὕδατός τε καὶ Πνεύματος, καὶ διὰ τῆς τοῦ Ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ, τὴν σὴν εὐλογίαν ἡμῖν κατάπεμψον, τὸν ῥύπον τῶν παθῶν ἀποσμήχουσαν. Ναὶ δεόμεθα, ἐπίσκεψαι ἡμῶν ἀγαθὲ τὴν ἀσθένειαν, καὶ ἴασαι ἡμῶν τὰς νόσους ψυχῆς τε, καὶ σώματος τῷ ἐλέει σου. Πρεσβείαις τῆς παναχράντου ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων νοερῶν αὔλων δυνάμεων Ἀσωμάτων· τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἐν ἁγίοις μεγάλων, οἰκουμενικῶν Διδασκάλων, καὶ Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν Ἀθανασίου, καὶ Κυρίλλου Πατριαρχῶν Ἀλεξανδρείας· Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Σπυρίδωνος Ἐπισκόπου Τριμυθοῦντος τοῦ Θαυματουργοῦ· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Ἐπισκόπου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ· τοῦ ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου· τοῦ ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλύτου· τῶν ἁγίων ἐνδόξων καὶ Καλλινίκων Μαρτυ-

ρων· τῶν ἁγίων καὶ Δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τῶν ἁγίων ἐνδόξων καὶ Θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρȣ καὶ Ἰωάννȣ, Παντελεήμονος καὶ Ἑρμολάȣ, Σαμψὼν καὶ Διομήδȣς, Μωκίου καὶ Ἀνικήτου, Θαλαλαίου τε, καὶ Τρύφωνος· τοῦ ἁγίου (τȣ̃δε) ȣ̃ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων. Καὶ φύλαττε Κύριε τοὺς δȣ́λȣς σου τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, γ΄. χάρισαι αὐτοῖς ψυχῆς καὶ σώματος τὴν ὑγείαν, καὶ τῇ δουλικῇ σου ταύτῃ τῶν Χριςιανῶν πολιτείᾳ ποίησον κατὰ πάντα ἐπιεικεῖς. Μνήσθητι Κύριε πάσης Ἐπισκοπῆς Ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, καὶ παντὸς Ἱερατικοῦ καὶ Μοναχικοῦ τάγματος, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι Κύριε τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς· τῶν διακονούντων ἀδελφῶν ἡμῶν, τῶν περιεστώτων, καὶ τῶν δι' εὐλόγȣς αἰτίας ἀπολειφθέντων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Μνήσθητι Κύριε τῶν ἐν αἰχμαλωσίᾳ, καὶ θλίψεσιν ὄντων ἀδελφῶν ἡμῶν, καὶ ἐλέησον αὐτοὺς κατὰ τὸ μέγα σου ἔλεος, πάσης ἀνάγκης ῥυόμενος. Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Ἱερεὺς μυστικῶς.

Κλῖνον Κύριε τὸ οὖς σου, καὶ ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος, καὶ ἁγιάσας τὰ ὕδατα, καὶ εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα· καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου, διὰ τῆς τοῦ Ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ· καὶ γενέσθω ἡμῖν Κύριε, εἰς ὑγείαν ψυχῆς καὶ σώματος.

Ὁ Ἱερεὺς ἐκφώνως·

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σȣ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σȣ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαβὼν τὸν Τίμιον Σταυρὸν, εὐλογεῖ τὰ ὕδατα ἐκ γ'. κατάγων, καὶ ἀνάγων αὐτὸν ὄρθιον, καὶ ψάλλων τὸ παρὸν Τροπάριον, ἐκ γ'.

Ἦχος β'.

Τῶν σῶν δωρεῶν ἀξίους ἡμᾶς ποίησον Θεοτόκε Παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχȣσα ἰάματα, τοῖς ἐν πίστει λαμβάνȣσι τὴν εὐλογίαν σȣ Ἄχραντε.

Εἶτα ἀσπάζεται ὁ Ἱερεὺς τὸν τίμιον Σταυρὸν, ὡσαύτως καὶ πᾶς ὁ λαός. Εἶθ' ȣ̔́τω ῥαντίζει πάντα τὸν λαὸν, καὶ τὴν Μονὴν μετὰ τοῦ Ἁγιάσματος.

Ὁ δὲ Χορὸς ψάλλει τὸ παρὸν Τροπάριον.

Ἦχος δ'.

Πηγὴν ἰαμάτων ἔχοντες, Ἅγιοι Ἀνάργυροι, τὰς ἰάσεις παρέχετε πᾶσι τοῖς δεομένοις, ὡς μεγίστων δωρεῶν ἀξιωθέντες, παρὰ τῆς ἀενάȣ πηγῆς τȣ̃ Σωτῆρος ἡμῶν. Φησὶ γὰρ πρὸς ὑμᾶς ὁ Κύριος, ὡς ὁμοζήλȣς τῶν Ἀποστόλων· Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν, κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. Διὸ τοῖς προστάγμασιν αὐτȣ̃, καλῶς πολιτευσάμενος, δωρεὰν ἐλάβετε, δωρεὰν παρέχετε, ἰατρεύοντες τὰ πάθη τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Δόξα. Νεῦσον παρακλήσεσι.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Ὁ Διάκονος· Ἐλέησον ἡμᾶς ὁ Θεός. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης. Ὁ Ἱερεύς· Ἐπάκουσον ἡμῶν ὁ Θεός. Εἰρήνη πᾶσι. Ὁ Διάκονος· Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε. Ὁ Ἱερεύς· Δέσποτα πολυέλεε Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν. Καὶ Ἀπόλυσις.

ΑΠΟΛΥΣΕΙΣ

ΤΩΝ ΔΕΣΠΟΤΙΚΩΝ ΕΟΡΤΩΝ

ΛΕΓΟΜΕΝΑΙ

ΚΑΤΑ ΤΑΞΙΝ

Εἰς τὸν Ἑσπερινὸν, τὸν Ὄρθρον, καὶ τὴν Λειτουργίαν.



Εἰς τὴν τοῦ Χριστοῦ Γέννησιν.

Ὁ ἐν σπηλαίῳ γεννηθεὶς, καὶ ἐν φάτνῃ ἀνακλιθεὶς διὰ τὴν ἡμῶν σωτηρίαν.

Εἰς τὴν Περιτομήν.

Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

Εἰς τὰ Ἅγια Θεοφάνεια.

Ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος ὑπὸ Ἰωάννου, διὰ τὴν ἡμῶν σωτηρίαν.

Εἰς τὴν Ὑπαπαντήν.

Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.



Εἰς τὴν Κυριακὴν τῶν Βαΐων.

Ὁ ἐπὶ πώλου ὄνου καθεσθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

Εἰς τὴν Κυριακὴν τῶν Βαΐων Ἑσπέρας.

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον Πάθος, διὰ τὴν ἡμῶν σωτηρίαν.

Εἰς τὴν Μεγάλην Πέμπτην.

Ὁ δι' ὑπερβάλλουσαν ἀγαθότητα, ὁδὸν ἀρίστην τὴν ταπείνωσιν ὑποδείξας, ἐν τῷ νίψαι τοὺς πόδας τῶν Μαθητῶν, καὶ μέχρι Σταυροῦ καὶ Ταφῆς συγκαταβὰς ἡμῖν.

Εἰς τὴν Ἀπόλυσιν τῶν Ἁγίων Παθῶν.

Ὁ ἐμπτυσμοὺς, καὶ μάστιγας, καὶ κολαφισμοὺς, καὶ Σταυρὸν, καὶ Θάνατον ὑπομείνας, διὰ τὴν τοῦ Κόσμου σωτηρίαν.

Εἰς τὴν Ἁγίαν καὶ μεγάλην Παρασκευήν.

Ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, τὰ φρικτὰ Πάθη, καὶ τὸν ζωοποιὸν Σταυρὸν, καὶ τὴν ἑκούσιον Ταφὴν σαρκὶ καταδεξάμενος.

Εἰς τὴν Ἁγίαν καὶ μεγάλην Κυριακὴν τοῦ Πάσχα.

Ὁ Ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν. Ταῖς πρεσβείαις τῆς παναχράντου, καὶ παναμώμου Ἁγίας αὐτοῦ Μητρός. Τῇ δυνάμει τοῦ τιμίου, καὶ ζωοποιοῦ Σταυροῦ. Τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων. Τῶν Ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακείμ, καὶ Ἄννης. Καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Εἰς τὴν Ἀνάληψιν.

Ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς Οὐρανοὺς, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός.

Εἰς τὴν Κυριακὴν τῆς Πεντηκοστῆς.

Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ Πανάγιον Πνεῦμα ἐπὶ τοὺς Ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους.

Εἰς τὴν αὐτὴν Κυριακὴν Ἑσπέρας.

Ὁ ἐκ τῶν Πατρικῶν καὶ Θεϊκῶν κόλπων κενώσας ἑαυτὸν, ἐξ Οὐρανοῦ ἐπὶ τῆς γῆς κατελθὼν, καὶ τὴν ἡμετέραν ὅλην ἀναλαβόμενος φυσιν, καὶ θεώσας αὐτήν· μετὰ δὲ ταῦτα εἰς Οὐρανοὺς αὖθις ἀνελθὼν, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρὸς, τό, τε Θεῖον, καὶ Ἅγιον, καὶ ὁμοούσιον, καὶ ὁμοδύναμον, καὶ ὁμόδοξον, καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς Ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, καὶ διὰ τούτου φωτίσας μὲν αὐτοὺς, δι' αὐτῶν δὲ πᾶσαν τὴν Οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου, καὶ παναμώμου Ἁγίας αὐτοῦ Μητρὸς, τῶν Ἁγίων ἐνδόξων, καὶ πανευφήμων, θεοκηρύκων, καὶ πνευματοφόρων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ ἐλεήμων Θεός.

Εἰς τὴν Μεταμόρφωσιν.

Ὁ ἐν τῷ Ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ἐν δόξῃ, ἐνώπιον τῶν Ἁγίων αὐτοῦ Μαθητῶν, καὶ Ἀποστόλων.

Εἰς πάσας τὰς Κυριακὰς τοῦ Χρόνου.

Ὁ Ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν. Ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου Ἁγίας αὐτοῦ Μητρός. Τῇ δυνάμει τοῦ τιμίου, καὶ ζωοποιοῦ Σταυροῦ. Τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων. (Τȣ Ἁγίȣ τῆς ἡμέρας.) Τῶν Ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ, καὶ Ἄννης. Καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ ἐλεήμων Θεός.

ΤΕΛΟΣ.



ΠΙΝΑΞ

ΑΚΡΙΒΕΣΤΑΤΟΣ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΕΝ ΤῌΔΕ Τῌ ΙΕΡᾼ ΒΙΒΛΩ.

ΣΕΠΤΕΜΒΡΙΟΣ.

Σελ.

1. Ἀρχὴ τῆς Ἰνδίκτου. Τῆς Θεοτόκου, Συμεὼν τοῦ Στυλίτου, Ἰησοῦ τοῦ Ναυῆ, καὶ τῶν Μαρτύρων. 3
5. Τοῦ Ἁγίου Προφήτου Ζαχαρίου τοῦ Πατρὸς τοῦ τιμίου Προδρόμου καὶ Βαπτιστοῦ. 5
6. Θαῦμα Μιχαὴλ τοῦ Ἀρχαγγέλου ἐν Κολασσαῖς. 6
8. Τὸ Γενέσιον τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας. 8
9. Τῶν Ἁγίων, καὶ Δικαίων Θεοπατόρων καὶ ἀειμνήστων Ἰωακεὶμ, καὶ Ἄννης. 9
13. Τὰ Ἐγκαίνια τῆς Ἁγίας τοῦ Χριστοῦ ἡμῶν Ἀναστάσεως, καὶ Προεόρτια τοῦ τιμίου Σταυροῦ. 10
14. Ἡ Παγκόσμιος Ὕψωσις τȣ̃ τιμίȣ καὶ ζωοποιȣ̃ Σαυρȣ̃. 12
16. Τῆς Ἁγίας Μεγαλομάρτυρος Εὐφημίας. 14
20. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου καὶ τῆς Συνοδίας αὐτοῦ. 16
23. Ἡ Σύλληψις τοῦ τιμίου καὶ ἐνδόξου Προδρόμου. 19
24. Τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ Ἰσαποστόλȣ Θέκλης. 20
26. Τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου. 22
29. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Γοβδελαᾶ τοῦ Πολυάθλου. 23

ΟΚΤΩΒΡΙΟΣ.

Σελ.
3. Τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίε τε Ἀρεοπαγίτου. 25
6. Τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Θωμᾶ 26
8. Τῆς Ὁσίας Μητρὸς ἡμῶν Πελαγίας. 27
Τῇ Κυριακῇ μετὰ τὴν ια' Ὀκτωβρίου. Τῆς Ἁγίας, καὶ Οἰκουμενικῆς Ἑβδόμης Συνόδου. 28
18. Τοῦ Ἁγίου ἐνδόξου. καὶ πανευφήμου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Λουκᾶ. 30
22. Τοῦ Ἁγίου καὶ Ἰσαποστόλου Ἀβερκίου, Ἐπισκόπου Γεραπόλεως. Καὶ τῶν Ἁγίων ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ. 31
23. Τοῦ Ἁγίου Ἱερομάρτυρος, καὶ Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου. 32
26. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Δημητρίου τε Μυροβλύτου, καὶ ἡ Ἀνάμνησις τοῦ γεγονότος Σεισμοῦ. 33

ΝΟΕΜΒΡΙΟΣ.

1. Τῶν Ἁγίων Ἀναργύρων Κοσμᾶ, καὶ Δαμιανοῦ. 35
8. Ἡ Σύναξις τε Ἀρχιστρατήγου Μιχαὴλ, καὶ τῶν λοιπῶν ἀσωμάτων Δυνάμεων. 37
12. Τε ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τε Ἐλεήμονος. 38
13. Τε ἐν Ἁγίοις Πατρος Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. 39
14. Τοῦ Ἁγίου Ἀποστόλου Φιλίππου. 40
16. Τοῦ Ἁγίε Ἀποστόλου, καὶ Εὐαγγελιστε Ματθαίου. 42
20. Προεόρτια τῆς ἐν τῷ Ναῷ Εἰσόδου τῆς Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας. 43
21. Τὰ Εἰσόδια τῆς ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας. 45
25. Τῆς Ἁγίας Μεγαλομάρτυρος τοῦ Χριστοῦ, καὶ πανσόφου Αἰκατερίνης. 46
26. Τῶν Ὁσίων Πατέρων ἡμῶν, Ἀλυπίου τοῦ Κιονίτου, καὶ Στυλιανοῦ τοῦ Παφλαγόνος. 48
30. Τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Ἀνδρέου τοῦ Πρωτοκλήτου. 50

ΔΕΚΕΜΒΡΙΟΣ.

Σελ.

4. Τῆς Ἁγίας Μεγαλομάρτυρος Βαρβάρας, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ. 52
5. Τοῦ Ὁσίου, καὶ Θεοφόρου Πατρὸς ἡμῶν Σάββα τοῦ Ἡγιασμένου. 54
6. Τȣ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ. 55
9. Ἡ Σύλληψις τῆς Ἁγίας Ἄννης, τῆς Μητρὸς τῆς Θεοτόκου, καὶ ἡ Ἀνάμνησις τῶν Ἐγκαινίων. 58
12. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν, Σπυρίδωνος Τριμυθȣ̃ντος τοῦ Θαυματουργοῦ. 60
Τῇ Κυριακῇ τῶν Ἁγίων Προπατόρων. 62
17. Τῶν Ἁγίων τριῶν Παίδων, Ἀνανίȣ, Ἀζαρίȣ, καὶ Μισαήλ. Καὶ τοῦ Ἁγίου Προφήτου Δανιήλ. 63
Τῇ Κυριακῇ πρὸ τῆς Χριστοῦ Γεννήσεως, καὶ τῶν Ἁγίων Πατέρων. 65
20. Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰγνατίου τοῦ Θεοφόρου. 66
23. Τῶν Ἁγίων Δέκα Μαρτύρων τῶν ἐν Κρήτῃ. 69
24. Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν. 71
25. Ἡ κατὰ σάρκα Γέννησις τȣ̃ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. 73
26. Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου. 76
Τῇ Κυριακῇ μετὰ τὴν Χριστοῦ Γέννησιν. 79
27. Τοῦ Ἁγίου ἐνδόξου Πρωτομάρτυρος, καὶ Ἀρχιδιακόνȣ Στεφάνου. 80

ΙΑΝΝΟΥΑΡΙΟΣ.

1. Ἡ κατὰ Σάρκα Περιτομὴ τȣ̃ Κυρίου ἡμῶν Ἰησȣ̃ Χριστοῦ, καὶ Μνήμη τȣ̃ Ἁγίου Βασιλείου τοῦ Μεγάλου. 83
5. Ἡ Παραμονὴ τῶν Ἁγίων Θεοφανείων τȣ̃ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. 85
6. Τὰ Ἅγια Θεοφάνεια τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. 89
7. Ἡ Σύναξις τȣ̃ τιμίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου. 91
11. Τȣ̃ Ὁσίου Πατρὸς ἡμῶν Θεοδοσίου τȣ̃ Κοινοβιάρχου. 93
15. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Καλυβίτου. 95

Σελ.
16. Ἡ προσκύνησις τῆς τιμίας Ἁλύσεως τȣ̃ Ἁγίου καὶ Πανευφήμου Ἀποστόλου Πέτρου. 96
17. Τȣ̃ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν, Ἀντωνίου τȣ̃ Μεγάλου. 97
18. Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν Ἀθανασίου, καὶ Κυρίλλου Πατριαρχῶν Ἀλεξανδρείας. 98
19. Τȣ̃ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μακαρίου τȣ̃ Αἰγυπτίου, καὶ τοῦ Ἁγίου Ἀρσενίου Ἀρχιεπισκόπου Κερκύρας. 100
20. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐθυμίου τοῦ Μεγάλου. 101
22. Τοῦ Ἁγίου Ἀποστόλȣ Τιμοθέου, καὶ τȣ̃ Ἁγίου Μάρτυρος Ἀναστασίου τοῦ Πέρσου. 102
25. Τȣ̃ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου τȣ̃ Θεολόγου. 103
27. Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. 105
28. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου. 106
30. Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τȣ̃ Μεγάλου, Γρηγορίου τȣ̃ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. 107

ΦΕΒΡΟΥΑΡΙΟΣ.

2. Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 110
8. Τȣ̃ Ἁγίȣ Μεγαλομάρτυρος Θεοδώρȣ τȣ̃ Στρατηλάτου. 111
10. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Χαραλάμπους. 113
11. Τοῦ Ἁγίου Ἱερομάρτυρος Βλασίου. —
17. Τοῦ Ἁγίου Μεγαλομαρτυρος Θεοδώρου τȣ̃ Τύρωνος. 114
24. Ἡ Εὕρεσις τῆς Τιμίας Κεφαλῆς τοῦ Προδρόμου. 116

ΜΑΡΤΙΟΣ.

9. Τῶν Ἁγίων Μεγάλων Τεσσαράκοντα Μαρτύρων, τῶν ἐν τῇ Λίμνῃ Σεβαστείας μαρτυρησάντων. 118
25. Ὁ Εὐαγγελισμὸς τῆς Ὑπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας. 119

ΑΠΡΙΛΙΟΣ.

4. Τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ Ὑμνογράφου. 122
23. Τοῦ Ἁγίου Ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου. 123

Σελ.
25. Τοῦ Ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Μάρκου. 124
29. Τῶν Ἁγίων ἐνδόξων, καὶ Πανευφήμων Ἀποσόλων Ἰάσωνος, καὶ Σωσιπάτρου, καὶ τῆς Ἁγίας Ἐνδόξου Παρθενομάρτυρος Κερκύρας τῆς Βασιλίδος. 125
30. Τȣ Ἁγίȣ Ἀποστόλȣ Ἰακώβȣ Ἀδελφȣ Ἰωάννȣ τȣ Θεολόγȣ. 126

ΜΑΓΟΣ.

2. Τοῦ Ἁγίου Πατρὸς ἡμῶν Ἀθανασίου τȣ Μεγάλου. 127
8. Τοῦ Ἁγίου ἐνδόξου καὶ Πανευφήμου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου. 128
10. Τοῦ Ἁγίου Ἀποστόλου Σίμωνος τοῦ Ζηλωτοῦ. 130
15. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀχιλλείου Ἀρχιεπισκόπου Λαρίσσης. 131
21. Τῶν Ἁγίων ἐνδόξων Μεγάλων Βασιλέων καὶ Ἰσαποστόλων, Κωνσταντίνου, καὶ Ἑλένης. 132
24. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Συμεὼν τοῦ ἐν τῷ Θαυμαστῷ Ὄρει. 134
25. Ἡ Τρίτη Εὕρεσις τῆς τιμίας Κεφαλῆς τοῦ Ἁγίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστȣ Ἰωάννȣ. —

ΙΟΥΝΙΟΣ.

11. Τῶν Ἁγίων Ἀποστόλων Βαρθολομαίου, καὶ Βαρνάβα. 136
12. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ὀνουφρίου. 137
19 Τοῦ Ἁγίου Ἀποστόλου Ἰούδα Ἀδελφοῦ τοῦ Κυρίου. 138
24. Τὸ Γενέσιον τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου. 139
29 Τῶν Ἁγίων ἐνδόξων καὶ Πανευφήμων Ἀποστόλων, καὶ Πρωτοκορυφαίων Πέτρου, καὶ Παύλου. 141

ΙΟΥΛΙΟΣ.

1. Τῶν Ἁγίων, καὶ Θαυματουργῶν Ἀναργύρων Κοσμᾶ, καὶ Δαμιανοῦ, τῶν ἐν Ῥώμῃ μαρτυρησάντων. 142
2. Ἡ Κατάθεσις τῆς Τιμίας Ἐσθῆτος τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἐν Βλαχέρναις. 144
5. Τȣ Ὁσίου Πατρὸς ἡμῶν Ἀθανασίου τȣ ἐν τῷ Ἄθῳ. 145
8. Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Προκοπίου. 146
13. Ἡ Σύναξις τοῦ Ἀρχαγγέλου Γαβριήλ. 148

Σελ.

Τῇ Κυριακῇ ἀπὸ ιγ'. ἕως ιθ'. Ἰουλίου. Μνήμη τῆς Ἁγίας Οἰκουμενικῆς Δ'. Συνόδου. 149
17. Τῆς Ἁγίας Μεγαλομάρτυρος Μαρίνης. 150
20. Τȣ̃ Ἁγίου ἐνδόξου Προφήτου Ἠλιοὺ τοῦ Θεσβίτου. 152
22. Τῆς Ἁγίας Μυροφόρου Μαρίας τῆς Μαγδαληνῆς. 153
25. Ἡ Κοίμησις τῆς Ἁγίας Ἄννης, τῆς Μητρὸς τῆς Ὑπεραγίας Θεοτόκου. 154
26. Τῆς Ἁγίας Ὁσιομάρτυρος Παρασκευῆς, καὶ τοῦ Ἁγίου Ἱερομάρτυρος Ἑρμολάου. 155
27. Τȣ̃ Ἁγίȣ ἐνδόξȣ Μεγαλομάρτυρος Παντελεήμονος. 157

ΑΥΓΟΥΣΤΟΣ.

1. Ἡ Πρόοδος τῶν Τιμίων Ξύλων τȣ̃ Σταυρȣ̃, καὶ τῶν Ἁγίων Μακκαβαίων. 158
4. Τῶν Ἁγίων Ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ. 161
6. Ἡ Μεταμόρφωσις τȣ̃ Κυρίου, καὶ Θεȣ̃, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. 162
9. Τοῦ Ἁγίου Ἀποστόλου Ματθία. 163
15. Ἡ Κοίμησις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας. 164
25. Ἡ Ἐπάνοδος τȣ̃ Λειψάνου τȣ̃ Ἁγίου Ἀποστόλου Βαρθολομαίου. Καὶ τοῦ Ἁγίου Ἀποστόλου Τίτου. 166
26. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάσαφ. 167
29. Ἡ Ἀποτομὴ τῆς Τιμίας Κεφαλῆς τοῦ Προδρόμου. 168
31. Ἡ Κατάθεσις τῆς Τιμίας Ζώνης τῆς Ὑπεραγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας. 170

ΕΟΡΤΑΙ ΤΟΥ ΤΡΙΩΔΙΟΥ.

Τῇ Κυριακῇ τοῦ Τελώνου καὶ Φαρισαίου. Εἰς τὸν Ἑσπερινόν. 172
Τῇ Κυριακῇ τοῦ Ἀσώτου. Εἰς τὸν Ἑσπερινόν. 173
Τῷ Σαββάτῳ τῆς Ἀποκρέω, Μνήμην ἐπιτελοῦμεν τῶν ἀπ' αἰῶνος Κεκοιμημένων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν. Εἰς τὸν Ἑσπερινόν. 174
Τῇ Κυριακῇ τῆς Ἀποκρέω. Εἰς τὸν Ἑσπερινόν. 176
Τῷ Σαββάτῳ τῆς Τυρινῆς, Μνήμην ἐπιτελοῦμεν πάντων τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν, τῶν ἐν ἀσκήσει λαμψάντων. Εἰς τὸν Ἑσπερινόν. 177

Σελ.

Τῇ Κυριακῇ τῆς Τυροφάγου. Ἡ Ἐξορία τοῦ Ἀδάμ. Εἰς τὸν Ἑσπερινόν. 178
Τῷ Σαββάτῳ πρώτῳ τῶν Νηστειῶν, τὸ διὰ τῶν Κολύβων Θαῦμα παρὰ τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τύρωνος ἑορτάζομεν. Εἰς τὸν Ἑσπερινόν. 180
Τῇ Κυριακῇ πρώτῃ τῶν Νηστειῶν, ἤτοι τῆς Ὀρθοδοξίας. Εἰς τὸν Ἑσπερινόν. 181
Τῇ Κυριακῇ δευτέρᾳ τῶν Νηστειῶν. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου Ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Θαυματουργοῦ. Εἰς τὸν Ἑσπερινόν. 182
Τῇ Κυριακῇ τρίτῃ τῶν Νηστειῶν. Ἡ Προσκύνησις τοῦ Τιμίου καὶ ζωοποιοῦ Σταυροῦ. Εἰς τὸν Ἑσπερινόν. 183
Εἰς τὴν Προσκύνησιν τοῦ Σταυροῦ. 185
Τῇ Κυριακῇ τετάρτῃ τῶν Νηστειῶν. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τῆς Κλίμακος. Εἰς τὸν Ἑσπερινόν. —
Τῇ πέμπτῃ τῆς ε. Ἑβδομάδος. Ἡ Ἀκολουθία τοῦ Μεγάλου Κανόνος. Εἰς τὸν Ὄρθρον. 187
Τῷ Σαββάτῳ τῆς ε. Ἑβδομάδος. Ἡ Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκȣ τῆς Ἀκαθίςȣ. Εἰς τὸν Ἑσπερινόν. —
Τῇ Κυριακῇ πέμπτῃ τῶν Νηστειῶν. Τῆς Ὁσίας Μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας. Εἰς τὸν Ἑσπερινόν. 189
Τῷ Σαββάτῳ τοῦ Ἁγίου Λαζάρου. Εἰς τὸν Ἑσπερινόν. 190
Τῇ Κυριακῇ τῶν Βαΐων. Εἰς τὸν Ἑσπερινόν. 191
Τῇ Κυριακῇ τῶν Βαΐων. Ἑσπέρας. 192
Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ β'. Εἰς τὸν Ὄρθρον. 194
Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ β'. Εἰς τὸν Ἑσπερινόν. 197
Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ γ'. Εἰς τὸν Ὄρθρον. —
Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ γ'. Εἰς τὸν Ἑσπερινόν. 199
Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ δ'. Εἰς τὸν Ὄρθρον. —
Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ δ'. Εἰς τὸν Ἑσπερινόν. 202
Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ ε. Εἰς τὸν Ὄρθρον. 203
Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ ε. Εἰς τὸν Ἑσπερινόν. 206
Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ. Εἰς τὸν Ὄρθρον. 208

ΩΡΑΙ ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΑΡΑΣΚΕΥΗΣ.

Εἰς τὴν Πρώτην Ὥραν. 211
Εἰς τὴν Τρίτην Ὥραν. 212
Εἰς τὴν Ἕκτην Ὥραν. 214



Σελ.
Εἰς τὴν Ἐννάτην Ὥραν. 215
Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ. Ἑσπέρας. 216
Τῷ Ἁγίῳ καὶ Μεγάλῳ Σαββάτῳ. Εἰς τὸν Ὄρθρον. 219
Τῷ Ἁγίῳ καὶ Μεγάλῳ Σαββάτῳ Ἑσπέρας. 220

ΕΟΡΤΑΙ ΤΟΥ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ.

Εἰς τὸν Ὄρθρον. 222
Τῇ Κυριακῇ τοῦ Ἀποστόλου Θωμᾶ. Εἰς τὸν Ἑσπερινόν. 224
Τῇ Κυριακῇ τῶν Μυροφόρων. Εἰς τὸν Ἑσπερινόν. 225
Τῇ Κυριακῇ τοῦ Παραλύτου. Εἰς τὸν Ἑσπερινόν. 227
Τῇ Τετάρτῃ τῆς Μεσοπεντηκοστῆς. Εἰς τὸν Ἑσπερινόν. 228
Τῇ Κυριακῇ τῆς Σαμαρείτιδος. Εἰς τὸν Ἑσπερινόν. 229
Τῇ Κυριακῇ τοῦ Τυφλοῦ. Εἰς τὸν Ἑσπερινόν. 231
Τῇ Πέμπτῃ τῆς Ἀναλήψεως. Εἰς τὸν Ἑσπερινόν. 232
Τῇ Κυριακῇ τῶν Ἁγίων τιή. Θεοφόρων Πατέρων τῶν ἐν Νικαίᾳ. Εἰς τὸν Ἑσπερινόν. 234
Τῷ Σαββάτῳ πρὸ τῆς Πεντηκοστῆς. Μνήμη τῶν ἀπ' αἰῶνος Κεκοιμημένων. Εἰς τὸν Ἑσπερινόν. 236
Τῇ Κυριακῇ τῆς Ἁγίας Πεντηκοστῆς. Εἰς τὸν Ἑσπερινόν. 238
Τῇ Κυριακῇ τῆς Ἁγίας Πεντηκοστῆς. Εἰς τὸν Ἑσπερινόν. 239
Τῇ Δευτέρᾳ ἑσπέρας. Εἰς τὸν Ἑσπερινόν. 240
Τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων. Εἰς τὸν Ἑσπερινόν. 241

ΕΥΧΑΙ ΔΙΑΦΟΡΟΙ.

Δοξαστικὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου. 244
Τὰ Ἕνδεκα Ἑωθινά. 251
Εὐλογητάρια Ἀναστάσιμα. 255
Εὐλογηταρία Νεκρώσιμα. 256
Ἀκολουθία τῆς Κοινῆς Παρακλήσεως τῆς Θεοτόκου. 259
Κανὼν εἰς τὴν Θεοτόκον, ἐν Ἐξομολογήσει Ἁμαρτωλοῦ. 268
Ἀκολουθία τοῦ Μικροῦ Ἁγιασμοῦ. 272
Ἀπολύσεις τῶν Δεσποτικῶν Ἑορτῶν λεγόμεναι εἰς τὸν Ἑσπερινόν, εἰς τὸν Ὄρθρον, καὶ εἰς τὴν Λειτουργίαν. 281

ΤΕΛΟΣ.

